68
2 F
17

Ex Bibliotheca
majori Coll. Rom.
Societ. Jesu
IV. 12. a

68. 2. F. 17

-18-2 F. 14-

Hyg. 65,
F 32
N

Collegij Rom. Soc. Jesu. Catal.o inter.s Ex Bibliot.ca Monach.

ΑΠΠΙΑΝΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ ΡΩΜΑΙΚΩΝ

Κελτική
Λιβυκὴ ἢ Καρχηδονική
Ἰλλυρική
Συριακή
Παρθική
Μιθριδάτειος
Ἐμφύλιων ε̄.

Appianus Traiani temporibus vixit 240.


APPIANI ALEXANDRINI ROMANARVM HISTORIARVM

Celtica
Libyca, vel Carthaginensis
Illyrica
Syriaca
Parthica
Mithridatica
Ciuilis, quinque libris distincta.

EX BIBLIOTHECA REGIA.



BIBLIOTECA NAZ. ROMA



Βασιλῆς τ' ἀγαθῷ κρατερῷ τ' αἰχμητῇ.

LVTETIAE
Typis Regiis,
Cura ac diligentia Caroli Stephani.
M. D. L I.

Cum priuilegio Regis.

ΑΠΠΙΑΝΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ ΡΩΜΑΙΚΑ

BIBLIOTECA

ΤΗΝ Ρωμαϊκὴν ἰσοδείαν ἀρχόμενος συγγράφειν, ἀναγκαῖον ἡγησάμην προτάξαι τοῖς ὅροις ὅσων ἐθνῶν ἄρχουσι Ρωμαῖοι. εἰσὶ δ' οἵδε· ἐν μὲν τῷ ὠκεανῷ, Βρεττανῶν τὰ πλείονος μέρους· διὰ δὲ τῶν Ἡρακλείων στηλῶν ἐς πλοῦν τὴν θάλασσαν ἐσπλέουσι, καὶ ὑπὲρ τὰς αὐτὰς στήλας προπλέουσι, νήσων ἄρχουσι πασῶν, καὶ ἠπείρου ὅσαι κατοικοῦσιν ὑπὲρ τὴν θάλασσαν· ὧν εἰσὶν ἐν δεξιᾷ προπτοι Μαυρουσίων ὅσοι πρὸς τὴν θάλασσαν, ὅσα τ' ἄλλα Λιβύων ἔθνη μέχρι Καρχηδόνος· καὶ τούτων ὑπερθε Νομάδες, οὓς Ρωμαῖοι καλοῦσι Νομίδας, καὶ τὴν χώραν Νουμιδίαν. ἕτεροι δὲ Λίβυες ὅσοι περοικοῦσι τὰς Σύρτεις μέχρι Κυρήνης· Κυρήνη τε αὐτὴ, καὶ Μαρμαρίδαι, καὶ Ἀμμώνιοι, καὶ οἱ τὴν Μαρείαν λίμνην κατοικοῦσι· καὶ ἡ μεγάλη πόλις ἣν Ἀλέξανδρος ἔθηκε πρὸς Αἰγύπτῳ· Αἴγυπτος τε αὐτὴ, μέχρι Αἰθιόπων τῶν ἐσω ἀνὰ τὸν Νεῖλον πλέοντι, καὶ μέχρι Πηλουσίου διὰ θαλάσσης· ὑπερέφοντι δὲ τὸν πλοῦν, καὶ προϊόντι, Συρία τε ἡ Παλαιστίνη, καὶ ὑπὲρ αὐτὴν μοῖρα Ἀράβων· ἐχόμενοι δὲ τῶν Παλαιστινῶν Φοίνικες ὑπὲρ τὴν θάλασσαν· καὶ Φοινίκων ὑπερθεν, ἥ τε κοίλη Συρία, καὶ μέχρι ἐπὶ ποταμὸν Εὐφράτην. ὑπὲρ θαλάσσης ἄνω, Παλμυρηνοί τε καὶ ἡ Παλμυρηνῶν ψάμμος ἐπ' αὐτὸν Εὐφράτην καθήκουσα· Κίλικές τε Σύρων ἐχόμενοι, καὶ Καππαδόκαι Κιλίκων ὅμοροι, καὶ μέρος Ἀρμενίων, οὓς καλοῦσιν Ἀρμενίαν κεκτῆσθαι. παρὰ τὸν Εὔξεινον πόντον, ἄλλα ὅσα παντὶ καὶ Ρωμαίων ὑπήκοα γῆν. Σύροι μὲν δὴ καὶ Κίλικες ἐς τήνδε τὴν θάλασσαν ἀφορῶσιν, Ἀρμένιοι δὲ καὶ Καππαδόκαι ἐς τε τὸν Πόντον καὶ τὴν Κασπίαν γῆν καθήκουσι, καὶ ἀνὰ τὸ μεσόγαιον ὑπὲρ τὴν καλουμένην Ἀρμενίαν μείζονα, ἧς Ρωμαῖοι οὐκ ἄρχουσι μὲν ἐς φόρου κομιδήν, αὐτοὶ δὲ αὐτοῖς ἀποδείκνυσι τὸν βασι-

Fines imperij R.

λέας. ἀπὸ δὲ Καππαδοκῶν καὶ Κιλίκων ἐς τὴν Ἰωνίαν καταβαίνοντι ἔστιν ἡ μεγάλη Χερρόνησος, ὅ, τε Πόντος ὁ Εὔξεινος, καὶ ἡ Προποντὶς, καὶ ὁ Ἑλλήσποντος ἔπὶ δεξιὰ, καὶ τὸ Αἰγαῖον, ἐκ δὲ λαιᾶς τὸ Γαμφύλιον, ἢ Αἰγύπτιον πέλαγος. λέγεται γὰρ ἄμφω ποιεῖν Χερρόνησον· καί εἰσιν αὐτῆς οἱ μὲν ἐς τὸ Αἰγύπτιον πέλαγος ἀφορῶντες, Παμφύλιοί τε καὶ Λύκιοι, καὶ μετ' αὐτοὺς Καρία, μέχρι Ἰωνίας· οἱ δ' ἐπὶ τὸν Εὔξεινον, καὶ τὴν Προποντίδα, καὶ τὸν Ἑλλήσποντον, Γαλάται τε καὶ Βιθυνοὶ, καὶ Μυσοὶ, καὶ Φρύγες· ἐν δὲ μεσογαίῳ Πισίδαι τε καὶ Λυδοί. τοσαῦτα ἔθνη τὴν Χερρόνησον οἰκοῦσι, καὶ πάντων ἄρχουσι Ρωμαῖοι. περάσαντες δὲ, καὶ ἑτέρων ἐθνῶν ἄρχουσιν ἀμφὶ τὸν Πόντον, καὶ Μυσῶν τὸν ἐν Εὐρώπῃ, καὶ Θρᾳκῶν ὅσοι πρὸς τὸν Εὔξεινον. ἀπὸ δὲ Ἰωνίας κόλπος ἐστὶ θαλάσσης ὁ Αἰγαῖος, καὶ ἕτερος Ἰονίου θαλάσσης, καὶ ὁ Σικελικὸς πορθμὸς, καὶ ἡ Θυρρηνὴ θάλασσα μέχρι τῶν Ἡρακλέων στηλῶν. τοῦτο μῆκός ἐστιν ἀπ' Ἰωνίας ἔπὶ τὸν ὠκεανόν. καὶ ἐν τῷδε αὖ τῷ πλάτει Ρωμαίων κατήκοα τοσαῦτα, ἡ τε Ἑλλὰς πᾶσα, καὶ Θεσσαλία, καὶ Μακεδόνες, καὶ ὅσα πρὸς ἄρκτον ἄλλα Θρᾳκῶν, καὶ Ἰλλυριῶν, καὶ Γαιτῶν ἔθνη, αὐτή τε Ἰταλία μακρῷ πάντων ἐθνῶν ἔσα, καὶ ἀπὸ τοῦ Ἰονίου πρήκουσα ἔπὶ πλεῖον τῆς Τυρρηνικῆς θαλάσσης, μέχρι Κελτῶν, οἷς αὐτοὶ Γαλάται πρόσουροί εἰσι· καὶ Κελτῶν ὅσα ἔθνη, τὰ μὲν ἐς τήνδε τὴν θάλασσαν, τὰ δὲ ἐς τὸν βόρειον ὠκεανὸν ἀφορᾷ, τὰ δὲ πρὸς Ρῆνον ποταμὸν οἴκηται. Ἰβηρίαν τε πᾶσαν καὶ Κελτιβήρες ἔπὶ τὸν ἑσπέριον καὶ βόρρων ὠκεανὸν, καὶ τὰς Ἡρακλείους στήλας πεπλυσμένοι. καὶ ἱστῶν πέρι καὶ ἐφ' ἑκάστου δηλώσω τὰ ἀκριβέστατα, ὅταν εἰς ἕκαστον ἔθνος ἡ γραφὴ πρόῃ. νῦν δὲ ὅσον ὅροις μεγάλοις τὴν ἀρχὴν περιλαβεῖν, κατὰ μὲν θάλασσαν εἴρηται, κατὰ δὲ γῆν πρόσω τοῖς πρὸ ἑαυτῶν· καὶ εἴ τι θερμότερον, ἢ θηριώδες ἄλλο Λιβύης, μέχρις Αἰθιόπων τῶν ἑῴων. ταῦτα μὲν Λιβύης Ρωμαίοις ὅροι. τὴν δὲ Ἀσίας, ποταμός τε Εὐφράτης, καὶ τὸ Καύκασον ὄρος, καὶ ἡ Ἀρμενίας τὸ μείζονος ἀρχὴ, καὶ Κόλχοι πρὸς τὸν Εὔξεινον θάλασσαν οἰκήσαντες, καὶ τὰ λοιπὰ τῇδε τῆς πελάγους. ἐν δὲ τῇ Εὐρώπῃ ποταμοὶ δύο, Ρῆνός τε καὶ Ἴστρος, μάλιστα τὴν Ρωμαίων ἀρχὴν ὁρίζουσι· καὶ ἱστῶν Ρῆνος μὲν ἐς τὸ βό-

ρον ὠκεανόν· Ισρος ᾗ ἐς τ̃ Ευξεινον πόντον καταδιδοῖ. πράσαντες δὲ πη, καὶ ἱδρυσε Κελτῶν τῶν ὑπὲρ Ρῆνον ἄρχουσιν ἐαυτῶν, καὶ Γετῶν τῶν ὑπὲρ Ισρον ἃς Δακοὺς καλοῦσιν. ὅροι μὲν οὗτοι κατ' ἤπειρον, ὡς ἐπὶ βαθὺ τὰ ἐλαχιστα τ̃ ἀκριβοῦς. νῆσοι δὲ πᾶσαι ὅσαι τῆς ἐντὸς θαλάσσης εἰσὶν, αἵ τε Κυκλάδες, καὶ Σποράδες, καὶ Ἰάδες, καὶ Ἐχινάδες, καὶ Τυρρηνίδες, καὶ Μηνίαι, καὶ ὅσας ἄλλας ὀνομάζουσιν ἕτεροι, πρὸς τε Λιβύην, καὶ τὸ Ἰώνιον, καὶ Αἰγύπτιον, καὶ Μυρτῶον, καὶ Σικελικὸν, καὶ ὅσα ἄλλα τῆσδε τῆς θαλάσσης ὀνόματα· ὅσαι τε ἐξαιρέτως ὑπὸ τῶν Ελλήνων ὀνομάζονται μεγάλοι νῆσοι, Κυπρός τε, καὶ Κρήτη, καὶ Ρόδος, καὶ Λέσβος, καὶ Εὔβοια, καὶ Σικελία, καὶ Σαρδὼ, καὶ Κύρνος, καὶ εἴτις ἄλλη μικροτέρα τε καὶ μείζων· ἅπαντα ταῦτ' ἐστὶ Ρωμαίοις ὑπήκοα. καὶ τὸν βόρρον ὠκεανὸν ἐς τὴν Βρεττανίδα νῆσον πράσαντες ἠπείρου μεγάλης μείζονα, τὸ κράτιστον αὐτῆς ἔχουσιν ὑπὲρ ἥμισυ, οὐδὲν τῆς ἄλλης δεόμενοι· ἐ γὰρ εὔφορος αὐτοῖς ἐστὶν οὐδ' ἣν ἔχουσι. τούτων τοσούτων καὶ τηλικούτων ἐθνῶν ὄντων τὸ μέγεθος, Ιταλίαν μὲν αὐτὴν ἔπιμοιρος τε καὶ μόλις ἐν πεντακοσίοις ἔτεσι κατειργάσαντο βεβαίως, καὶ ἱστῶν τὰ ἡμίσεα βασιλεῦσιν ἐχρῶντο· τὰ δὲ λοιπὰ τοὺς βασιλέας ἐκβαλόντες, καὶ ἑπομόσαντες οὐκ ἐξεῖναι βασιλέων, ἀριστοκρατίᾳ τε ἐχρήσαντο ἀπὸ τοῦδε, καὶ πρὸς τὰς ἀρχὰς ἐτησίους διακοσίους ᾗ μάλιστα ἐξῆς ἐπὶ τοῖς πεντακοσίοις ἐπὶ μέγα ἦλθεν ἡ ἀρχὴ, καὶ ξενικῆς τε διωκήσεως ἐκράτησαν ἀπείρου, καὶ τὰ πλεῖστα τῶν ἐθνῶν τότε κατηκόντο. Γάϊός τε Καῖσαρ ὑπὲρ τοῦ τότε δυνατεύσας, καὶ τὴν ἡγεμονίαν κρατυνάμενος τε καὶ διαθέμενος ἐς φυλακὴν ἀσφαλῆ, τὸ μὲν ἄγημα τῆς πολιτείας καὶ τὸ ὄνομα ἐφύλαξε, μόναρχον δὲ ἑαυτὸν ἀπέφηνε πᾶσι. καί ἐστιν ἥδε ἡ ἀρχὴ μέχρι νῦν ὑφ' ἑνὶ ἄρχοντι· ἃς βασιλείας μὲν οὐ λέγουσιν, ὡς ἐγὼ νομίζω, τ̃ ὅρκον αἰδούμενοι τὸν πάλαι· αὐτοκράτορας δ' ὀνομάζουσιν, ὅ καὶ τῶν προσκαίρων στρατηγῶν ὄνομα ἦν· εἰσὶ δὲ ἔργα τὰ πάντα βασιλέων. καὶ ἔστι καὶ τοῖσδε τοῖς αὐτοκράτορσιν ἐς τὸν πρόσθεν χρόνον, ἐπὶ τετράπω διακοσίων ἐτῶν ἄλλων, ἐν οἷς ἥ τε πόλις μάλιστα κατεκοσμήθη, καὶ ἡ πρόσοδος ἐπιπλεῖστον ηὐξήθη, καὶ πάντα ἐν εἰρήνῃ μακρᾷ καὶ βιαίᾳ πρόσθεν ἐς εὐδαιμονίαν ἀσφαλῆ. καί τινα καὶ τοῖς πρό-

Italia quingentis annis vix subacta. Ducentis annis cæteras gentes.

Hinc colligi quo tempore vixerit Appianus.

τέροις ἔθνεσιν· οὐδὲ οἱ αὐτοκράτορες εἰς τὴν ἡγεμονίαν προσέλαβον, καὶ ἀφισάμενα ἄλλα ἐκράτυναντο. ὅλως τε δι' βύβλιαν τὰ κράτιστα τῆς θαλάσσης ἔχοντες, αὔξειν ἐθέλουσι μᾶλλον, ἢ τὴν ἀρχὴν εἰς ἄπειρον ἐκφέρειν ὑπὲρ βαρβαρα ἔθνη πενιχρὰ καὶ ἀκερδῆ. ὧν ἐγὼ πολλὰς εἶδον ἐν Ρώμῃ πρεσβευομένους τε καὶ δίδοντας ἑαυτοὺς ὑπηκόους εἶναι, καὶ οὐ δεξάμενον βασιλέα ἄνδρας οὐδὲν αὐτῷ χρησίμους ἰσομένους. ἔθνεσί τε ἄλλοις ἀπείροις τὸ πλῆθος αὐτοὶ δίδοασι τοὺς βασιλέας, οὐδὲ αὐτῶν εἰς τὴν ἀρχὴν δεόμενοι. καὶ τῶν ὑπηκόων ἐνίοις προσαναλίσκουσιν, αἰδούμενοι, καίπερ ὑπὲρ ζημίους ὄντας, ἀποδόσθαι. τὴν τε ἀρχὴν ἐν κύκλῳ περικάθηνται μεγάλοις στρατοπέδοις, καὶ φυλάσσουσι τὴν ξυνεχῆ γῆν καὶ θάλασσαν ὥσπερ χωρίον. ἀρχή τε οὐδεμία προσῆλθέ πω μείζων εἰς τοσοῦτο μεγέθους καὶ χρόνου. οὔτε γὰρ τὰ Ἑλλήνων, εἴ τις ὁμοῦ τὰ Ἀθηναίων καὶ Λακεδαιμονίων, καὶ Θηβαίων δυνασευσάντων παρὰ μέρος, ἀπὸ τῆς Δαρείου στρατείας, ὅθεν αὐτοῖς ὁρμᾶται ἐλλαμπρύνεσθαι μάλιστα, ἐς τὸν Φιλίππου τοῦ Ἀμύντου τῆς Ἑλλάδος ἡγεμονίαν σὺν ἀγαθῷ, πολλὰ ἂν ἔτι φανείη. οἵ τε ἀγῶνες αὐτοῖς ἐχρῶντο ἐκ τοῦ ἀρχῆς προσκτήσασθαι μᾶλλον ἢ φιλοτιμίας προσὸς ἀλλήλους, καὶ οἱ λαμπρότατοι τῶν αὐτῶν ἕνεκα ἀρετῆς προσὸς ἀρχὰς ἄλλας ἐπιούσας. εἰ δέ τινες αὐτῶν εἰς Σικελίαν πλεύσαντες, ἐπὶ ἀρχῆς ἑτέρας ἐλπίδος, προσέπταισαν· ἢ εἴπερ ἐς τὴν Ἀσίαν διῆλθε, μικρὰ καὶ ὧδε δράσας βύθυς ἐπανῆλθε. ὅλως τε ἡ Ἑλληνικὴ δύναμις, καίπερ ἐνθύμως ὑπὲρ ἡγεμονίας ἀγωνισαμένων, οὐ προσῆλθεν ὑπὲρ τὴν Ἑλλάδα βεβαίως, ἀλλὰ δηλοὶ μὲν ἐγένοντο ἀδούλωτον αὐτὴν καὶ ἀήττητον καταλιπεῖν ἐπιπλεῖσον. ἀπὸ δὲ Φιλίππου τοῦ Ἀμύντου, καὶ Ἀλεξάνδρου τοῦ Φιλίππου, ὃς πάνυ μοι δοκοῦσι προσάξαι κακῶς καὶ ἀναξίως αὐτῆς. ἡ τε τῆς Ἀσίας ἀρχὴ, ἔργων μὲν πέρι καὶ ἀρετῆς, οὐδὲ ἐς τὰ σμικρότατα τῶν Εὐρωπαίων προβάλλεται, δι' ἀσθένειαν καὶ ἀπολμίαν τῶν ἐθνῶν. καὶ τοῦτο δηλοῖ καὶ ἥδε ἡ γραφὴ προσοῦσα. ὀλίγαις γὰρ μάχαις Ρωμαῖοι τοσούτων τῆς Ἀσίας ἐθνῶν κατέσχον, ὅσων ἐπεκράτησαν, καὶ ταῦτα Μακεδόνων αὐτῶν ὑπερμαχομένων· τὰ δὲ πολλὰ προσὲ τὴν Λιβύην καὶ τὴν Εὐρώπην ἐξεστράφησαν. Ἀσυρίων τε αὖ,

καὶ Μήδων, καὶ Περσῶν, τελῶν τῶνδε μειζόνων ἡγεμονιῶν εἰς Αλέξανδρον τὸν Φιλίππου συνηθροισμένων, οὔτ' ἂν ὁ χρόνος ἐφίκοιτο τῶν ἐνακοσίων ἐτῶν, ὅσα ἐστὶ Ρωμαίοις ἐς τὰ νῦν χρόνου. τό, τε μέγεθος τῆς ἀρχῆς τῆς ἐκείνων οὐδὲ ἐς ἥμισυ νομίζω, τῆσδε τῆς ἡγεμονίας ἁπασῶν, τεκμαιρόμενος, ὅτι Ρωμαίοις ἀπὸ τῆς δύσεως ἐς τὸ ἑῷον ὠκεανοῦ, ἀπὸ τὸ Καύκασον ὄρος, καὶ ποταμὸν Εὐφράτην, ἐς Αἰθιοπας τοὺς ἄνω δι' Αἰγύπτου ἐς Αράβων ἀπὸ τῆς ἑῴου ὠκεανὸν ἡ ἀρχὴ διεξέρχεται· καὶ ὅρος ἐστὶν αὐτοῖς ὁ ὠκεανὸς ἀρχομένου τε ἐς δυομένου τοῦ θεοῦ· θαλάσσης τε πάσης ἡγεμονεύουσι τῆς ἐντὸς ὕσης, καὶ νήσων ἁπασῶν, καὶ ἐν τῷ ὠκεανῷ Βρεττανῶν, Μήδοις τε καὶ Πέρσαις, ὅτε πλείστη θάλασσα, ἦν ὁ Γαμφύλιος κόλπος ἰῇ, καὶ μία νῆσος ἡ Κύπρος, ἥν που ἄλλο σμικρὸν τῆς Ιωνίας ἐν θαλάσσῃ τότε Περσικοῦ κόλπου. καὶ γὰρ τῶνδε ἐκράτουν, πόντου καὶ ὅπου πέλαγός ἐστι. τὰ δὲ δὴ Μακεδόνων τὰ μὲν τοῦ Φιλίππου τοῦ Αμύντου καὶ παν σμικρὰ ἰῇ, καὶ ἔστιν ὧν ἐπήκουσε. τὰ δ' αὐτοῦ Φιλίππου πόνου μὲν καὶ ταλαιπωρείας ἔγεμεν οὐ μεμπτῆς, ἀλλὰ καὶ ταῦτα περὶ τὴν Ελλάδα, καὶ τὰ πρόσω ἰῇ. ἀπὸ δ' Αλεξάνδρου μελέτη τε καὶ πλήθη, καὶ δύπυχία, καὶ ταχυεργία διαλάμψασα ἠὰρ χὴ, καὶ ὀλίγου δεῖν εἰς ἄπειρον καὶ ἀμίμητον ἐλθοῦσα, διὰ τὸ βραχύτητα τοῦ χρόνου προσοικειν ἀστραπῇ λαμπρᾷ· ἧς γε καὶ διαλυθείσης εἰς πολλὰς σατραπείας, ἀπέλειπεν ἐξέλαμπε τὰ μέρη. καὶ τοῖς ἐμοῖς βασιλεῦσι μόνοις ἰῇ σταδιοὶ τε πεζῶν μυριάδες εἴκοσι, καὶ μυριάδες ἱππέων τέσσαρες, καὶ ἐλέφαντες πολεμισταὶ τριακόσιοι, καὶ ἅρματα ἐς μάχας δισχίλια, καὶ ὅπλα ἐς διαδοχὴν μυριάσι τριάκοντα. καὶ τάδε μὲν αὐτοῖς ἰῇ ἐς πεζομαχίαν· ἐς δὲ ναυμαχίας, κοντωταὶ καὶ ὅσα σμικρότερα ἄλλα δισχίλια, τριήρεις δὲ ἀπὸ ἡμιολίας μέχρι πεντήρους πεντακόσιαι καὶ χίλιαι. καὶ σκεύη ξυμπαντὰ διπλότερα τούτων, θαλάμηγά τε χρυσόπρυμνα, καὶ χρυσέμβολα ἐς πολέμου πομπήν, οἷς αὐτοὶ διαπλέοντες ἐπέβαινον οἱ βασιλεῖς ὀκτακόσιοι. χρημάτων δὲ ἐν τοῖς θησαυροῖς τέσσαρες καὶ ἑβδομήκοντα μυριάδες ταλάντων αἰγυπτίων· ἐς γὰρ δὴ τοῦτο παρεσκευῆς τε καὶ σταλιὰς ἐκ τῆς βασιλικῶν διαχρεφῶν φαίνεται προσαγωγῶν τε καὶ καταλιπών. ὁ δεύτε-

ρος Αιγύπτιος βασιλεὺς μετ' Αλέξανδρον, ὃς καὶ πολίσματος ἀγνόητος ἰδίων βασιλέων, καὶ δαπανῆσαι λαμπρότατος, καὶ κατασκευάσαι μεγαλουργότατος· φαίνεται δὲ καὶ πολλὰ τῶν ἄλλων σατραπειῶν οὐ πολὺ τούτων ἀποδέοντα, ἀλλὰ πάντα ἐς τοὺς ἐπιγόνους αὐτῷ σὺν ἐξιφθη, φθαρέντων ἐς ἀλλήλους, ὧν μόνως ἀρχαὶ μεγάλαι καταλύονται ταχὺ ἀσασαι. Τὰ δὲ Ρωμαίων μεγέθη τε καὶ εὐτυχίαι διήνεγκε δι' εὐβουλίαν καὶ χρόνον, ἔστε τὴν πᾶσαν αὐτῶν ἀρετὴν καὶ φερεπονίαν καὶ παλαιπωρίαν πάντας ὑπερῆραν, οὔτε ταῖς εὐτυχίαις ἐπαιρόμενοι, μέχρι βεβαίως ἐκράτησαν, οὔτε συστελλόμενοι ταῖς συμφοραῖς, ὧν γε καὶ δύο μυριάδες ἀνδρῶν ἐνίοτε μιᾶς ἡμέρας, καὶ ἕτεραι τέτταρες ἀπόλωνται, καὶ ἄλλης πέντε, καὶ περὶ τῆς πόλεως αὐτῆς πολλάκις ἐκινδύνευον, καὶ λιμοί τε καὶ λοιμοὶ σὺν ἐχεῖς, καὶ σάσεις, ὁμοῦ πάντα ἐπιπίπτοντα οὐκ ἀπέστησε τὸ φιλοπόνως, ἕως ἐπὶ ἀκοσίοις ἔτεσι κακοπαθοῦντές τε καὶ κινδυνεύοντες, αἰσχρῶς τὸ ἄρχειν ἐς τόδε προήγαγον, καὶ τῆς εὐτυχίας ὤναντο διὰ τὴν εὐβουλίαν. Καὶ τάδε πολλοὶ μὲν Ἑλλήνων, πολλοὶ δὲ Ρωμαίων σὺν ἔγραψαν· καὶ ἔστιν ἡ ἰσοτέλεια τῆς Μακεδονικῆς μείζονος δὴ τῷ πρότερον ὅσης πολὺ μείζων. Ἀλλ' ἐντυγχάνοντά με καὶ τὴν ἀρετὴν αὐτῶν ἐντελῆ καθ' ἕκαστον ἔθνος ἰδεῖν ἐθέλοντα ἀπέφερεν ἡ γραφὴ πολλάκις ἀπὸ Καρχηδόνος ἐπὶ Ἴβηρας, καὶ ἐξ Ἰβήρων ἐπὶ Σικελίαν, ἢ Μακεδονίαν, ἢ ἐπὶ πρεσβείας, ἢ συμμαχίας ἐς ἄλλα ἔθνη γνωμένας· εἶτ' αὖθις ἐς Καρχηδόνα ἀνῆγε, ἢ Σικελίαν ὥσπερ ἀλώμενον, καὶ πάλιν ἐκ τούτων ἀτελῶν ἐπόντων μετέφερεν· ἕως δὲ τὰ μέρη σὺν ἤγαγον ἐμαυτῷ, ὁπόσα ἐς Σικελίαν ἐστράτευσαν, ἢ ἐπέσβαν, ἢ ὁπωσοῦν ἔπραξαν ἐς Σικελίαν, μέχρι κατεστήσαντο αὐτὴν ἐς τὸν κόσμον τὸν νῦν ἔχοντα· ὁπόσα τε αὖ Καρχηδονίοις ἐπολέμησαν, ἢ ἐπανέστησαν, ἢ ἐπρέσβευσαν ἐς αὐτούς, ἢ πρεσβείας ἐδέξαντο παρ' ἐκείνων, ἢ ἔδρασαν ὁπωσοῦν, ἢ ἔπαθον πρὸς αὐτῷ, ἕως Καρχηδόνα κατέσκαψαν, καὶ τὸ Λιβύων ἔθνος πρὸς ἑλαβον, καὶ αὖθις ὤκησαν αὐτοῖς Καρχηδόνα, καὶ Λιβύην κατέσησαν ἐς ταὐτὸν ὄντα. καὶ τάδε μοι κατὰ ἔθνος ἕκαστον ἐπεσάχθη βουλομένῳ τὰ ἐς ἑκάστους ἔργα Ρωμαίων καταμαθεῖν, ἵνα τὴν τῶν ἐθνῶν ἀδε-

νειαν, ἢ φερεπονίαν, καὶ τὴν τῶν ἐλόντων ἀρετὴν, ἢ δυτυχίαν, ἢ εἴ τι ἄλλο συγκύρημα σύμπεσόν ἐχθη, καταμάθοιμι. νομίσας δ' αὐτίκα κὴ ἄλλον οὕτως ἐθελῆσαι μαθεῖν τὰ Ρωμαίων, συγγράφω κατὰ ἔθνος ἕκαστον. ὅσα δὲ ἐν μέσῳ πρὸς ἕτερους αὐτοῖς ἐχώρει, ἐξαίρω, καὶ εἰς τὰ ἐκείνων μετατίθημι. τοὺς μὲν χρόνους ἀπὸ μὲν πᾶσι σφισὶν ἡγούμην καταλέγειν· ἀπὸ δὲ τῶν ἀφανεστάτων ἐκ διαστήματος ἐπωνομήσω. κὴ τὰ ὀνόματα Ρωμαίοις πάλαι μὲν ἓν ἦν, ὥσπερ καὶ ἀνθρώποις ἅπασιν ἑκάστῳ, μετὰ δὲ ἐχώρησε δύο, κὴ οὐ πολὺς χρόνος ἐξ οὗ κὴ τρίτον ἤρξατο ποσὶν εἰς ἀπίγνωσιν ἐκ πάθους ἢ ἀρετῆς πρόσωπόθεσθαι, καθὰ κὴ τῶν Ελλήνων ἔνιοι ἀπὸ τὰ ὀνόματα ἔσαν ἐπικλήσεις· ἐγὼ δὲ ἔστι μὲν ὅπου κὴ πάντων ἀπέχομαι, κὴ μάλιστα ἀπὸ τῶν ἀπαφανῶν εἰς γνώρισμα τῶν ἀνδρῶν· τὰ δὲ πολλὰ, καὶ τούτοις, κὴ τοῖς ἄλλοις, ἃ κωλύοντα τὰ ἡγοῦντα προσαγορεύω. Τριῶν δὲ βίβλων ὐσῶν, αἱ τὰ ἐς τὴν Ιταλίαν ὄντα αὐτοῖς πολλὰ πεπραγμένα σύναγον, τὰς μὲν τρεῖς ἡγητέον εἶναι Ρωμαϊκῶν Ιταλικᾶς· διὰ δὲ πλῆθος ἔργων διῄρηνται· κὴ δηλώσει, ἢ μὲν πρώτη τὰ τῶν βασιλέων ἐπὶ τὰ γενόμενα ἔργα, ἐφεξῆς ἅπαντα ἐφ' ἑαυτῶν ὡς ἐγένετο, κὴ αὐτὴν ἐπιγράφω, Ρωμαϊκῶν Βασιλικήν. ἡ δὲ ἐξῆς τὰ ἐς τὴν ἄλλην Ιταλίαν, χωρὶς γε τῆς πρὸ τὸν κόλπον τὸν Ιώνιον, ἐς ἣν σύγκρισιν τῆς πρώτερας ἥδε λέγεται, ἡ ἐξῆς Ρωμαϊκῶν Ιταλική. τελευταίᾳ δὲ ἔθνει Σαυνίταις, οἳ πρὸ τὸν Ιώνιον ὤκηνται, μεγάλῳ τε κὴ χαλεπῷ, ὀγδοήκοντα ἔτεσι σύμπλακησαν, μέχρι ἐς τοῦδε, κὴ ὅσα σφίσιν ἐξῆς ἔθνη σύμμαχα, κὴ Ελληνας ὅσοι ἐντὸς τὴν Ιταλίαν εἰσὶν, ὑπηγάγοντο· κὴ ἔστιν ἥδε τῶν πρώτερον εἰς σύγκρισιν, Ρωμαϊκῶν Σαυνιτική. τὰ δὲ λοιπὰ τούτων ἑκάστη κὴ λόγους ἐπιγράφουσι, Ρωμαϊκῶν Κελτική τε, κὴ Σικελική, κὴ Ιβηρική, ἐς Αννιβαϊκή, κὴ Καρχηδονιακή, κὴ Μακεδονιακή, καὶ ἐφεξῆς ὁμοίως. τέτακται δ' αὐτῶν ἄλλη μετ' ἄλλην, ὡς ἑκάστῳ πολέμων τὴν ἀρχὴν πρὸς ἑτέρους λαβεῖν συνέπεσεν, εἰ κὴ τὸ τέλος τῷ ἔθνει μετὰ πολλὰ ἕτερα γένηται. ὅσα δ' αὐτοὶ Ρωμαῖοι πρὸς ἀλλήλους ἐστασίασάν τε κὴ ἐπολέμησαν ἐμφύλια, φοβερώτερα σφίσι τούτων μάλιστα γενόμενα, ἐς τοὺς στρατηγοὺς τῶν στάσεων διῄρηται· τὰ μὲν ἐς Μάριόν τε καὶ

Σύλλαν, τά τ' ἐς Γομπήϊόν τε καὶ Καίσαρα, τά τ' ἐς Αντώνιόν τε καὶ τὸν ἕτερον Καίσαρα τὸν Σεβαστὸν ἐπίκλην, πρὸς τοὺς δυσροφόνους τῶ πρότερου Καίσαρος· τά τ' ἐς ἀλλήλους αὖτ', Αντωνίου τε καὶ Καίσαρος στασιασάντων, ὥπνι τελευταίῳ τῶν ἐμφυλίων ὄνλι καὶ Αἴγυπλος ὑπὸ Ρωμαίων εἰς μοναρχίαν προσῆλθεν. ὧδε μὲν ἐς βίβλους ἕκαστα τῶν ἐθνῶν, ἢ στρατηγῶν τὰ ἐμφύλια διήρηται. ἡ δὲ τελευταία καὶ πλὴν στρατιὰν αὐτῶν ὅσην ἔχουσιν, ἢ προσοδον ἣν καρποῦνται καθ' ἕκαστον ἔθνος, ἢ εἴπ προσαναλίσκουσιν εἰς τὰς ὑπηνείους φροιρὰς, ὅσα τε τοιουτότροπα ἄλλα ὑπιδείξει. ἁρμόζει δὲ ἀπὸ τῆς χθονὸς ἄρξασθαι τὸν προὶ τῆς ἀρετῆς αὐτῆς συγγράφοντα. πῆς δ' ὢν ταῦτα σὺν ἐγράψα, πολλοὶ μὲν ἴσασι, καὶ αὐτὸς προέφηνα, σαφέστερον δὲ εἰπεῖν, Αλεξανδρεὺς ἐς τὰ πρῶτα ἦκων ἐν τῇ παρίδι, καὶ δίκαις ἐν Ρώμῃ συναγορεύσας ἐπὶ τῶν βασιλέων, μέχρι μὲ σφῶν ἐπιτροπεύειν ἠξίωσαν· καὶ εἴ τῳ ασσυδὴ καὶ τὰ λοιπὰ μαθεῖν, ἔστι μοι καὶ τοῦτου συγγραφή.

Τὸ προοίμιον μόνον τῆς Συριακῆς τῶ Αππιανοῦ ἱστορίας τῇ παρούσῃ ὡίδαξα βίβλῳ· ἐπειδὴ ἐς τὸν ἅπαντα Συριακῶν λόγον ἐν τῇ Αλεξανδρικῇ Διονυσίου Ρωμαϊκὰ ἀρχαιολογίας παρῶν ἐδὼν ἱστορικὸν ἀξιολογώτερα, ὡ εἶναι δ' ὅλως βίβλους ἑλκυσθησόμενον διαλαμβάνουσα, φέρει τὸν σύμπαντα τῆς Ρώμης, καὶ τῶ χρόνος αὐτῆς, καὶ ἅπ' ἀρξέως ὅσα μέχρι δ' προῦπου πρὸς Καρχηδονίους αὐτῆς πολέμου ἐπράχθησαν. καὶ εἶναι δὲ πολλὰ τὰ Ρωμαϊκὰ συνοχάψαντο, ὧν καὶ Δίων ὁ Κάσσιος ἐν δημοσίᾳ, τὰ δὲ πλεῖστα, καὶ μάλιστα ὅσα μετὰ τὸν μοναρχίαν ἐπῆλθεν ἅπ' Καισάρων, καὶ μέχρι τῶ Αλεξάνδρου τῶ τῆς Μαμμαίας, οἷς ὁ σύμπασα τῶν ἱστορίαν, διεξοδικώτερον ἀναγράψας. διὸ μὴ τὸν μὲν ἀρχαιολογίαν τὸν Ρωμαϊκὸν ἐκ τῆς Διονυσίου καμβάσεως, εἶτις μὰ τὸν ἀκολουθῆσαι μόνον, ἀναγκαῖον ἐφεξῆς ἐκ ἅπ' ἀκριβοῦς ἐπιμέλειαν αἱρεῖσθαι· τὰ δὲ μετ' αὐτὸν μακρὰν, ἐκ τῆς Διονυσίου τὰ δὲ ἔθνος προῦξης, ἐκ τῆς παρούσης Αππιανοῦ· ἀφ' οὗ ἀναλεξάμενος ἕκαστα ἅπ' μὲν ἐμφυλίων τὰ τῆς Λιγύπτου καὶ Αππιανοῦ, καὶ ἐξῆς τούτοις τὰ Ρωμαίοις πρὸς Αιγυπτίους ἄχρι Κλεοπάτρας θηλείας, ἔπ τὰ Ιουδαϊκὰ, καὶ τὰ Πουνικὰ, τὰ δ' Αιβυκὰ, οἷς ὁ Τερέντιος βαμφυλίκιος, τὰ τὰ Ιβηρικὰ, καὶ τὰ Αππβαϊκὰ, τὰ τὰ Καρχηδονικὰ, καὶ τὰ Σικελικὰ, καὶ πρὸς τούτοις τὰ Μακεδονικὰ, καὶ τὰ Ελληνικὰ, καὶ πολλῶν καὶ ἄλλων ἔτων. τούτοις ἐρεῖδεις, ὡ φίλον αὐτὸ συνάψαι πυγεσι.

ΑΠΠΙΑΝΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ ΡΩΜΑΙΚΩΝ ΚΕΛΤΙΚΗ.

ΚΕΛΤΟΙ Ρωμήοις ἐπιχείρησε ποτε, καὶ τὴν Ρώμην εἶλον ἄνευ τῶν Καπιτωλίου, καὶ ἐμπεπρήκασι. Κάμιλλος δ' αὐτοὺς ἐνίκησε, καὶ ἐξήλασε, καὶ μὴ χρόνους ἐπιλοίπους αὖθις ἐνίκησε, καὶ ἐθριάμβευσεν ἀπ' αὐτῶν, ὀγδοήκοντα μεμνὼς ἔτη. καὶ πείτε δὲ Κελτῶν τραπεὰ ἐμβέβληκεν ἐς τὴν Ἰταλίαν· ὧν καὶ αὐτὴν οἱ Ρωμῆοι διέφθαρκασιν, ὑφ' ἡγεμόνι Τίτῳ Κοΐντῳ. μὴ δὲ τοῦτα Βοῖοι, Κελτικὸν ἔθνος ἡγεμονίσαντι ἐπῆλθε Ρωμήοις, καὶ αὐτὸς Γάϊος Σουλπίκιος διζήσατο μὴ τραπεᾶς ἀπόντα, ὅσιος καὶ τρατηγήματι χρήσασθαι λέγεται· ἐκέλευσε γὰρ αὐτοὺς ὅτι τοῦ μετώπου τεταγμένους ὀξακοντίσαντας ὁμοῦ συγκλίναι τάχιστα, μέχρι βάλωσιν οἱ δεύτεροι, καὶ τρίτοι καὶ τέταρτοι· τοὺς δ' ἀφιέντας αὖθις στρέφειν, ἵνα μὴ κατ' αὐτῶν ἐνεχθῇ τὰ δόρατα· βαλόντων δὲ τῶν ὑστάτων, ἀναπηδᾶν πρώτους ὁμοῦ, καὶ στρέβην πάντας εἰς χεῖρας ἰέναι· καταπλήξειν γὰρ οὕτω τοὺς πολεμίους τοῦτο δρασάντων ἄφνω, καὶ ἐπ' αὐτῇ τῇ χειρὶ νικήσειν. τὰ δὲ δόρατα τοῦ σώματος ἐλάττω ἐποιήσατο, καὶ Ρωμῆοι καλοῦσι νυνὶ, ξύλου τετραγώνου τὸ ἥμισυ, καὶ σιδήρου τετραγώνου, καὶ τοῦτο καὶ μακρότερον, χρείας γε τῆς αἰχμῆς. καὶ οἱ Βοῖοι οὗτοι ὑπὸ Ρωμήων τότε ἐφθάρησαν πρώτοις τραπεᾶ. δεύτεροι δὲ πάλιν Κελτοὶ ἐνίκησαν Ποπίλλιον, καὶ μετ' ἐκεῖνον τοὺς αὐτοὺς Κάμιλλος ὁ τοῦ Καμίλλου υἱός. ἔπειτα ἦλθε Κελτῶν καὶ Παῦλος Αἰμίλιος ξὺν πολλῷ. τρίτοι δὲ τῶν τοῦ Μαρίου ὑπατειῶν, πλείστων δὴ καὶ μαχιμωτάτων, τῆς τε ἡλικίας μάλιστα φοβερώτατον χρῆμα Κελτῶν εἰς τὴν Ἰταλίαν καὶ τὴν Γαλατίαν ἐσέβαλε, καὶ λῃστὰς ὑπὲρ τοὺς Ρωμήων ἐνίκησε, καὶ τραπέσθαι κατέκλυσεν, ἐφ' οἷς ὁ Μάριος ἀποσαλεὶς, ἀπώλεσε διέφθρε. τελευταῖα δὲ καὶ μέγιστα τῶν ἐς Γαλάτας Ρωμήοις πεπραγμένων ἐστὶ τὰ ὑπὸ Γαΐῳ Καίσαρι τρατηγοῦντι γενόμενα. μυριάσι τε γὰρ ἀνδρῶν ἀριθμὸν, οὐ τοῖς δίκα ἔτεσιν οὐ οἷς ἐστρατήγησεν, ἐς χεῖρας ἦλθον· εἶτις ὑφ' ἓν τὰ μέρη συναγάγοι, τετρακοσίων πλείοσι· καὶ τούτων ἑκατὸν μὲν ἐζώγρησεν, ἑκατὸν δὴ οὐ τῷ πόνῳ κατέκανεν, ἔθνη δὲ τετρακόσια, καὶ πόλεις ὑπὲρ ὀκτακοσίας, τὰ μὲν ἀφισάμενα σφῶν, τὰ δὲ προσπολαμβάνοντες ἐχρατύναντο. τρεῖς δὲ τῶν Μαρίου καὶ Φάβιος Μάξιμος ὁ Αἰμιλιανὸς ὀλίγῳ χρυσῷ τραπεᾶς ἔχων ἐπολέμησε τοῖς Κελτοῖς, καὶ δώδεκα μυριάδας αὐτῶν ἐν μιᾷ μάχῃ κατέκανε, πεντακαίδεκα μόνοις τῶν ἰδίων ἀποβαλών. καὶ τοῦτα μόνοι ἔτρεξε πιεζόμενος ὑπὸ τραύματος ὑπογυίου, καὶ τὰ τάγματα ὠπλίσατο, καὶ τὰ ἅρματα ἐπὶ τῶν ἁρμάτων, καὶ διδάσκων ὅπως τοῖς βαρβάροις πολεμητέον, τὰ μὲν ἐπ' ἀπό-

Galli. Camillus. T. Quintius. Boij. C. Sulpicius.

νης Φερούσιος, ταῦτα καὶ Βάσιλλος ἐμαντεύσατο. Καῖσαρ δὲ πολεμήσας αὐτοῖς, τοσοῦτον μὲν Ελουητίους καὶ Τιγυρίνους ἀμφὶ τὰς εἴκοσι μυριάδας ὄντας ἐνίκησε. οἱ Τιγυρῖνοι δὲ αὐτῶν χρόνῳ ἔμπροσθεν Πείσωνος καὶ Καισὶν ὑπατεύοντες, ὑπὸ ζυγὸν ἐξεπεπόμφεσαν, ὡς ἐν χρονικοῖς συντάξει δοκεῖ Παύλῳ τῷ Κλαυδίῳ. τοὺς μὲν οὖν Τιγυρίνους ὑποστρατηγὸς αὐτοῦ Λαβιηνὸς ἐνίκησε, Ἕλβους δὲ μόνους ὁ Καῖσαρ, καὶ Τριβόκους ἀμείνονας σφίσιν, ἔπειτα τοὺς μὴ Ἀριοβίστου Γερμανοὺς, οἳ καὶ τὰ μεγέθη μείζους τῶν μείστων ὑπῆρχον, καὶ τὸ εἶδος ἄγριοι, καὶ τὸ θάρσος ἀφάσιτοι, καὶ θανάτου καταφρονηταὶ δι' ἐλπίδα ἀναβιώσεως, καὶ χρῶς ὁμοίως ἔφερον θαλπτοῖ, καὶ πόα ἐλεῶντο τοῖς ἁπορίας ἕνεκα, ἣ ὁ ἵππειος ξύλοις. ἦσαν δὲ ὡς ἔοικεν οὐ φερέπονοι τὰς μάχας, οὐδὲ λογισμῷ ὑπεῖκον τινὶ, ἀλλὰ θυμῷ χρώμενοι καθ' ὁρμήν. διὸ καὶ ὑπὸ τῶν Ρωμαίων ὑπερῆμοι καὶ φερέποναι νενόμισται. οἱ μὲν γὰρ μὴ ὁρμῆς βαρυτάτης ἐπιπέσωσιν αὐτοῖς, καὶ ὅλως ὁμοῦ τῷ φάλαγγα ἀνεώγουσι· Ρωμαῖοι δὲ ὑπέμενον τὸ τάξει, καὶ κατισχύσαντες αὐτοὺς, καὶ ὀκτάκις μυρίους αὐτῶν πολλοστῶντες ἀπέκτειναν. μὴ δύνασθαι ὁ Καῖσαρ τοῖς κελτικοῖς Βέλγαις ὑπιστοῦν, ποταμόν τινα περῶσι, ξυνδύνους ἀπέκτεινεν, ὡς τὸν ποταμὸν γεφυρωθέντα τοῖς σώμασι περάσαι. Νέρβιοι δὲ αὐτὸν ἐπεξῆλθον, ἔρυμα τραπέντες ἐξ ὀδοιπορίας κατασκευάζοντι αἰφνιδίως ὑπιστάντες, καὶ πάμπολλους ἐφόνευσε· τοὺς δὲ ταξιάρχας, καὶ λοχαγοὺς ἀπώλεσε, καὶ αὐτὸν ἐκ βραχὺ εἰς λόφον τινὰ μὴ τὸν ὑπατικῶν πεφυκότα, τετείχισε κύκλῳ. ὑπὸ δὲ τοῦ δικάτου τάγματος αὐτοῖς ἐξόπιθεν ὑπιστάντος, ἐφθάρησαν ἑξάκις μύριοι ὄντες· ἦσαν δὲ τῶν Κίμβρων καὶ Τευτόνων ἀπόγονοι. ἐκράτησε δὲ καὶ Αλλοβρίγων ὁ Καῖσαρ. οἱ Συπίλιον καὶ Ταιχαρίων παραφύντα μυριάδες τρατεύσιμοί τε καὶ ἀτράτευτοι συνεκόπησαν. Σούκαμβροι δὲ πεντακοσίοις ἱππεῦσι τοὺς πεντακισχιλίους ἱππεῖς τοῦ Καίσαρος ἐπεξῆλθον, ἐξαίφνης ὑπιστάντες, καὶ δίκην ἔδοσαν ἡττηθέντες μὴ ταῦτα ἐπράσειν καὶ τὸν Ρῆνον περῶντος Ρωμαίων ὁ Καῖσαρ, καὶ ἐς τὴν Βρεττανίδα νῆσον, ἣ πίρυξ τε μείζονα ἔοικε μεγίστης, καὶ ἐν τῇδε ἀνθρώποις ἀγρωστοῖ ἐπιέρασι δὲ καὶ τὸν κειμῶνα τῆς ἀμπάτιος. ἀφ' ἑσπέρας γὰρ τὸ πάλος ἥπτετο τῆς θαλάσσης, καὶ ὁ ἥλιος ἐσαλπίστο, ἡρέμα περῶντι, εἶτα ὀξύτερον, μέχρι σὺν βιαίῳ τάχει διέπλευσεν ὁ Καῖσαρ ἐς τὴν Βρεττανίαν.

ΑΠΠΙΑΝΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ ΡΩΜΑΙΚΩΝ ΛΙΒΥΚΗ Η ΚΑΡΧΗΔΟΝΙΚΗ.

ΚΑΡΧΗΔΟΝΑ τὴν ἐν Λιβύῃ Φοίνικες ὤκισαν ἔτεσι πεντήκοντα πρὸ ἁλώσεως Ἰλίου. ἀκισθὴ δὲ αὐτοῖς ἐβούλοντο Ξώρας τινὸς τῆς Καρχηδόνος· ὡς δὲ Ρωμαῖοι τὴν αὐτὴν Καρχηδόνιοι νομίζουσι, Διδὼ γυνὴ Τυρία, ἧς τὸν ἄνδρα κατέκτεινε Πυγμαλίων Τύρου τυραννῶν, καὶ τὰ ἔρημα ἐπῴκησεν. ἡ δὲ ἐξ ἀνυπόπτου τὸν φόνον ἐπιγνοῦσα, καὶ μὴ χρημάτων πολλῶν καὶ ἀνδρῶν ὅσοι Πυγμαλίωνος τυραννίδα ἔφευγον, ἀφικνεῖται πλέουσα Λιβύης ἔνθα νῦν ὅδε Καρχηδών. ἐξωνοῦνται δὲ παρὰ τῶν Λιβύων, ἐδάφους χωρίον ἐς οἰκοδομὴν ἀρκεῖν, ὅσον δύναιτο βύρσα ταύρου περιλαβεῖν. τοῖς δὲ ἐπέπεσε μικρὸν τι καὶ γλίσχρον ἐπὶ τῇ τῶν Φοινίκων μικροψυχίᾳ, καὶ ἠξίουν τὸν ἀντιπόλεμον οὕτω βραχύτατον. μάλιστα δὲ ἐπόθουν ὅπως δύνωνται πόλις ἐν τηλικούτῳ διαφήματι γένοιτο. καὶ πορευθέντες ἴδιόν τι, τί ἐστιν αὐτοῖς τοῦτο τὸ σοφόν, σκέψασθαι δόντες, καὶ ἐπέμεσθαν. οἱ δὲ τὸ δέρμα περιλεπίδες ἐς ἱμάντα ἕνα στενόπαλον, περιέθηκαν οὗτος νῦν ἐστὶν ἡ Καρχηδονίων ἀκρόπολις· καὶ ἀπὸ τοῦδε Βύρσα ὀνομάζεται. χρόνῳ δὲ ὀλίγῳ ὁρμώμενοι, καὶ ὧν περιοίκων ὄντες ἐς χεῖρας ἦλθον, νικήσαντες χρήμενοι, καὶ πλεῖ θαλάσσαν οἷα Φοίνικες ἐργαζόμενοι, τὴν πόλιν ἔξω τῆς βύρσης περιέθηκαν. καὶ δυνασθέντες ἤδη, Λιβύης ἐκράτουν, καὶ πολλῆς θαλάσσης, ὁπόσην τε πολέμοις ἐκράτυνον ἐς Σικελίαν, καὶ Σαρδώ, καὶ νήσους μίας ὅσαι τῆσδε τῆς θαλάσσης εἰσὶ, καὶ ἐς Ἰβηρίαν· πολλαχῆ δὲ καὶ ἀποικίας ἐξέπεμπον· ἥ τε ἀρχὴ αὐτοῖς ἐλθόντα δυνάμει μὲν ἀξιόμαχος τῇ Ἑλληνικῇ, πολυουσία δὲ μὴν τῇ Περσικήν. ἐπλαγιάσθησαν δὲ αὐτοῖς ἔτεσιν ἀπὸ τοῦ στασιασμοῦ Ρωμαῖοι Σικελίαν ἀφείλοντο, καὶ Σαρδὼ μὴν Σικελίας, δευτέρῳ πολέμῳ καὶ Ἰβηρίαν, ἔστε τὴν ὑπήλυν ἐμβαλόντες μεγάλοις στρατοῖς, οἱ μὲν Ἀννίβου σφῶν ἡγουμένου τὴν Ἰταλίαν ἐπόρθουν ἐκκαίδεκα ἔτεσιν ἑξῆς, οἱ δὲ Λιβύαν, Κορνηλίου Σκιπίωνος τοῦ πρεσβυτέρου σφῶν στρατηγοῦντος, μέχρι τοῦ ἡγεμονίαν Καρχηδονίοις ἀφεῖλον τὴν, καὶ νεῶν, καὶ ἐλεφάντων, καὶ χρήματα σφίσιν ἐπιτάξαι ἐπενεγκεῖν ὑπὲρ πολέμου. δευτερίτε σπονδαὶ Ρωμαίοις καὶ Καρχηδονίοις αὖθις διέμειναν ἔτη πεντήκοντα, μέχρι λύσαντες αὖθις, τέλειον πόλεμον καὶ τελευταῖον ἀλλήλοις ἐπολέμησαν· ὑφ᾽ ᾧ Καρχηδὼν ἡ Ρωμαίοις καθῃρέθη, Σκιπίωνος τοῦ νεωτέρου σφῶν στρατηγοῦντος, καὶ ἐπάρξαντος ἔγνωσαν. αὖθις δὲ ὤκισαν ἰδίοις ἀνδράσιν, ἀλλ᾽ ὑστάτῳ μάλιστα τῶν πρεσβυτέρων, ὡς βύρσῃ ἐπὶ Λιβύης χωρίον. τούτων τὰ μὲν ἀμφὶ Σικελίαν ἡ Σικελικὴ γραφὴ δηλοῖ τὰ δὲ ἐν Ἰβηρίᾳ ἡ Ἰβηρικὴ τὰ δὲ Ἰβηρικὴ· καὶ ὅσα Ἀννίβας ἐς Ἰταλίαν ἐσβαλὼν ἔπραξεν, ἡ Ἀννιβαϊκὴ τὰ

ἡ ἐν Λιβύῃ ὁμόρμα ἀπ' ἀρχῆς ἦδη στρατῷ. ἦρξαν δὲ αὐτῶν ἀμφὶ τὸν Σικελικὸν πόλεμον οἱ Ρωμαῖοι, ναυσὶ πεντήκοντα καὶ τριακοσίαις ὅτε πλεύσαντες ἐς Λιβύην, καὶ πόλεις τινὰς ἑλόντες, καὶ στρατὸν ὅτε τὴν δυνάμει καταλιπόντες Ἄτιλιον Ρήγλον· ὃς δὴ ἀφ' ἑαυτοῦ τὰς πόλεις ἀφεστώσας προσελάβετο, αἱ Καρχηδονίων ἐγένοντο πρὸς αὐτὸν μετεβάλοντο· καὶ τὴν χώραν ὅλην ἐπόρθει. Καρχηδόνιοι δὲ Λακεδαιμονίους στρατηγὸν ἥτουν, οἰόμενοι δι' ἀρχαίαν κακοπραγίαν. οἱ μὲν δὴ Ξάνθιππον αὐτοῖς ἔπεμπον. ὁ δὲ Ἄτιλιος ἀμφὶ λίμνην στρατοπεδεύων, ὅθεν καὶ ὕδατος προεβέβλητο τὴν λίμνην, ὅτε ἵππῳ πολεμίους, ὅπλων τε βάρει, καὶ δίψῃ, καὶ πόνῳ, καὶ ὁδοιπορίᾳ κακοπαθοῦντας, καὶ βαλλόμενος ἀπὸ κρημνῶν ἀνώθεν. ὡς δὲ ἐπλησίασεν ἤδη ἑσπέρα, καὶ πολέμιοι αὐτοὺς διεῖργον, ὁ μὲν θᾶσσον ἐπέρα τὸν στρατὸν, ὡς καὶ τῶν δὶ ὧν Ξάνθιππον ἐκπλήξων· ὁ δὲ στρατὸς μέσῃ τῇ στρατιᾷ ἐπὶ θάτερα τῆς πύλης, ἧς ἔσας κεκμηκότας καὶ κακοπαθοῦντας καθεύδεσθαι, καὶ τὴν νύκτα πρὸς τὴν νικῶντων ἔσεσθαι. τῆς δὲ μὴ θᾶσσον τῆς ἡμέρας ὁ Ξάνθιππος οὐκ ἀπέτυχεν. ἀπὸ γὰρ τεισμυρίων διδράσκουσιν οὐς ὁ Ἀτίλιος ἦγεν, ὀλίγοι μέλις αὐτῶν ἐς Ἀσπίδα πόλιν διέδρασαν· οἱ μὲν λοιποὶ πάντες, οἱ μὲν ἀπώλοντο, οἱ δ' ἐζωγρήθησαν· καὶ μετ' αὐτῶν ὁ στρατηγὸς Ἄτιλιος ὕπατος γεγονὼς αἰχμάλωτος ἦν. Οἱ δὲ μὲν δὴ μετ' οὐ πολὺ κόμιστοι οἱ Καρχηδόνιοι, σπεύσαντες οἰκείοις πρέσβυσιν ἔπεμψαν ἐς Ρώμην ἐρησόμενοι σφίσι διάλλαξαι, ἢ ἐπανήξοντα. καὶ ὁ Ἀτίλιος Ρήγλος ἐν ἀπορρήτοις τοῖς πάλαι Ρωμαίων ὄντα σκήψας ἔχεσθαι τοῦ πολέμου, ἐπανῆλθεν εἰς λιμένα ἕτοιμος. καὶ αὐτὸν οἱ Καρχηδόνιοι καθαίρεσιν ἐν γαλεάγρᾳ κέντρα πλάστην ἐχούσῃ διέφθειραν. Ξανθίππῳ δὲ ὁ αὐτὸς χρῆμα ξυμφορῶν ἦρξε. Καρχηδόνιοι γὰρ αὐτὸν, ἵνα μὴ δοκοῖ Λακεδαιμονίων ἔργον εἶναι τοσοῦτον, ἐκκαυκρινάμενοι ἀμοιβῶν δωρεᾶς πολλῆς, καὶ πέμπειν ὅτε πρὸς τὴν ἐς Λακεδαίμονα, ὡς πρεσβείας ἀποστελοῦσι μετὰ τῶν συμπλεόντων Λακώνων καὶ παρῆσαν. ὁ μὲν δὴ δίκην ἔδωκε τοιάδε δι' ὑποψίας. καὶ τάδε ἐν τοῦ πρὸς τὸν πολέμου Ρωμαίοις πρὸς Λιβύην ὑποφυγήματά τε καὶ ἀτυχήματα, μέχρι Καρχηδονίοις Σικελίας Ρωμαίοις ἀπέκλεισεν. ὅπως δὲ ἀπέκλεισεν ἐν τῇ Σικελικῇ γραφῇ δεδήλωται. μετὰ δὲ τοῦτο Ρωμαίοις μὲν καὶ Καρχηδονίοις εἰρήνη ἦν ἐς ἔτη πλείω. Λίβυες δὲ ὅσοι Καρχηδονίων ὄντες ὑπήκοοι συμμαχικὸν αὐτοῖς ὅτε Σικελίαν, καὶ Κελτῶν ὅσοι μεμισθοφορήκεσαν, ἐκλήματά τινα μισθῶν καὶ ἀποδόσεων ἐς τοὺς Καρχηδονίους ἔχοντες, ἐπολέμουν αὐτοῖς μάλα κρατερῶς· οἱ δὲ Ρωμαῖοι ἐς συμμαχίαν ὡς φίλους ἐκάλουν. καὶ αὐτοῖς οἱ Ρωμαῖοι ξενολογεῖν ἐς μὲν τὸν δὶ ὃν πόλεμον ἀπὸ τῆς Ἰταλίας ἐφῆκαν· ἀπῆρτο γὰρ ἐν τοῖς σπονδαῖς καὶ τόδε. ἔπεμψαν δὲ καὶ διαλλακτῆρας, οἷς οἱ Λίβυες οὐχ ὑπήκουον, ἀλλὰ τοῖς πόλεις ἐδήλωσαν ὑπηκόους εἶναι Ρωμαίων εἰ θέλοιεν. οἱ δὲ οὐκ ἐδέξαντο. Καρχηδόνιοι δὲ ναυτικῷ πολλῷ ταῖς πόλεσιν ἐφεδρεύοντες, τοὺς ἀγροὺς αὐτῶν ἀφῃρέοντο τοὺς ἐκ τῆς θαλάσσης. ἀσσόρου δὲ καὶ τῆς γῆς ὡς ἐν πολέμῳ ὁμορμούσης, Λιβύων μὲν ὅσοι τὸν πόλεμον ἐκράτουν ἐμπορεύεσθαι δὲ ὅσοι πρὸς πλοῦν, ἤρτηντο ἐξ ἀπορίας· τοὺς δὲ Ρωμαίων καὶ κτείνοντες ἔβαλλον ἐς τὰ πλοῖα, ἵνα λαθραίως φέρῃ· καὶ διέλαθον ὅτε πολύ. γνωσθέντες δὲ τοῦ γενομένου πολλῷ αἰσχύνῃ διωθοῦντο, μέχρι Ρωμαίων ὅτι σφᾶς ἀφισαμένων, Σαρδὼ πολλῷ ἔδωκαν, καὶ τόδε τοῖς πρότερον ζημίοις ἐπέγραφον. οὐ πολὺ δὲ ὕστερον οἱ Καρχηδόνιοι στρατεύουσιν ἐς Ἰβηρίαν, καὶ αὐτοῦ χρόνον μέρος ὑπῆρχον, μέχρι Ζακυνθίων ὅτι Ρωμαίοις καταφυγόντων, Καρχηδονίοις ὅρος τὸ Ἰβηρία γένεται,

μὴ δέξασθαι δὲ Ἰβηρα ποταμὸν, καὶ ταῦτα αὐτοὺς ἐλυσθαι Καρχηδονίοις πρόσθεντες, Ἀννίβου σφᾶς ἠγουμένου διέβαινον δὲ, ὁ μὲν Ἀννίβας διεγρήγορεν ἐπὶ τοῖς τὰ ἐν Ἰβηρίᾳ καταλιπὼν, ἐς τὴν Ἰταλίαν ἐσέβαλε· γρατηνὸς δὲ Ῥωμαίων ἐν Ἰβηρίᾳ Γνάιος Κορνήλιος Σκιπίων καὶ Γναῖος Κορνήλιος Σκιπίων ἀνήλωσαν ἀδελφὼ, λαμπρὰ ἔργα ἀποδειχνυμένω, ἀπίσκεπτον ἀμφοτέροις τὸν πολεμίων, καὶ οἱ μετ' αὐτοὺς γρατηγοὶ κακῶς ἔπραττον, μέχρι Σκιπίων ὁ Γναίου Σκιπίωνος τοῦδε τοῦ ἐς Ἰβηρίαν ἀφικομένου ἐτῶν ὢν ἐπὶ πλέον ἢ εἴκοσι, καὶ δόξαν ἀπασιν ἐμβαλὼν ὡς ἦκοι καθ' ἡδονὴν, καὶ δαιμονίῳ τινὶ συμβουλῷ τοῦτο ἀφικόμενος, ἐκράτησε τῶν λαμπρῶν, καὶ ὅπως δόξης ἐν τοῖς πολλοῖς ἀμόμοιος, τὰ μὲν γρατηΐαν τοῖς ἐς δέξασθαι ἐπιτιμῶσι πρὸς ἔδωκεν, ἐς δὲ Ῥώμην ἐπέμελλεν, ἡξίου πεμφθῆναι γρατηνὸν ἐς Λιβύην, ὡς ἀμύσοιτο Ἀννίβαν ἐξ Ἰταλίας, καὶ Καρχηδονίοις δίκην ἐπιθήσοιτο ἐν τῇ πατρίδι. τῶν δὲ πολιτευομένων, οἱ μὲν ἀντέλεγον, ἀναχρῆναι καινομένης ἄρτι τῆς Ἰταλίας τοσοῖσδε πολέμοις, καὶ πορθουμένης ἐπὶ τοῖς Ἀννίβου, καὶ Μάγωνος ἐν πλευραῖς ἐπ' αὐτῇ Λιγυάς τε καὶ Κελτοὺς ξενολογοῦντος, ἐς Λιβύην γρατιὰν, ἐνδὺ τὴν ἄλλοτε ἰσχὺν χρῆναι, ἐν τῇ οἰκείᾳ ἀπαλλαξαι τῶν πρώτων· οἱ δὲ ὄρθιοι Καρχηδονίοις νῦν μὲν ἀδεῶς ὄντας ἐφεδρεύειν τῇ Ἰταλίᾳ, ἐνδὺν ἐνοχλουμένους οἴκοι, πολέμου δὲ οἰκείου σφίσι γιγνομένου, καὶ Ἀννίβαν μεταπέμπεσθαι, οὕτω μὲν ἐκράτησε πέμπειν ἐς Λιβύην Σκιπίωνα, οὐμὲν ζωγρήσοντα αὐτὸν καταλέγειν γρατιὰν ἐξ Ἰταλίας πανστρατιᾷ ἐπὶ τοῖς Ἀννίβου, ἔπλεον δὲ, εἴ τινες εἶεν, ἐπιτρέψαν ἐπάγεσθαι, καὶ οἷς ἀμφὶ τὴν Σικελίαν ἔπι οὖσι χρῆσθαι, πειρᾶν τε ἔδοσαν αὐτὸν καταστρέψασθαι δίκῃ, καὶ πληρώματα αὐτοῖς λαβόν, ἐπισκευάσαντα δὲ καὶ ἐν τοῖς ἐν Σικελίᾳ, καὶ χρήματα ὅσα ἔδωκαν πλὴν εἴ τις ἐθέλοι τῷ Σκιπίωνι κατὰ φιλίαν συμφέρειν· οὕτως ἀμφοτέρως ἤπλωντο τοῦδε τοῦ πολέμου τοῖς τοῖς πρᾶγμα, μείζοσι σφίσι καὶ ἀξιωματέροις μετ' ὀλίγον γνωσθέντος. ὁ δὲ Σκιπίων εὐθὺς ὡς ἐδέδοκτο Καρχηδόνι ἐκ πολλοῦ, καὶ πίστεις ἱππέας τε καὶ πεζοὺς ἐς ἑπτακισχιλίους μάλιστα ἀθροίσας, διέπλευσεν ἐς Σικελίαν ἔχων ἀμφ' αὐτὸν ἀρτηγμένους ἐπιλέκτους τριακοσίους, οἷς εἴρητο χρῆσθαι ὅπλων ἕπεσθαι Σικελῶν ἢ ὧν τριακοσίους καταγράψας θυμάτων, ἐκέλευσεν ἥκειν ἐς ἡμέραν ῥητὴν ἐσκευασμένους ὅπλους τε καὶ ἵππους ὅτι δυνατὸν καλλίστους, ὡς δὲ ἀφίκοντο, προσέταξεν εἴ τις ἑαυτῷ θέλοι δὸν γρατευσόμενος ἀποδοῦναι δεξαμένῳ δὲ πρῶτον, ἤγαγε ἐς μέσον τοῖς τριακοσίους τῶν ὅπλων ἐρήμους, καὶ ἐς τούσδε ἑκάστους προσέταξε μεταπαύσασθαι, οἱ δὴ ἔχοντες τοὺς ἐδίδοσαν ὅπλα καὶ ἵππους, καὶ προσέτι ᾧ Σκιπίωνι τριακοσίους νέους Ἰταλιώτας ἔχειν ἀντὶ Σικελιωτῶν, καλλίστα ἵππους καὶ ὅπλους ἀλλοτρίους ἐσκευασμένους, καὶ χαίρειν αὐτοὺς ὅπῃ τῷ δοκοῖεν, οἷς δὲ καὶ προθυμότατος ἐς πόνον χρώμενος διετέλει. Καρχηδόνιοι δὲ ταῦτα πεύθανόμενοι, Ἀσρύβαν μὲν τὸν Γίσκωνος ὅπῃ δύναιντο χειρίστων ἐξέπεμπον, Μάγωνι δὲ ἀμφὶ τὴν Λιγυστίνων ξενολογοῦντι πεζοὺς ἀπιστίνους ἐς ἑξακισχιλίους, καὶ ἱππέας ἑκατοντάδας τριακοσίους, καὶ ἐλέφαντας ἑπτὰ, καὶ προσέπεμπον αὐτῷ ὅσων δυνατὸν ἦν λαβεῖν ἐσβαλόντες Τυρρηνίαν, ἵνα δὴ Σκιπίωνα προσαπόσχοιτο ἐν Λιβύῃ· Μάγων μὲν δὴ καὶ τότε ἐβράδυνεν, Ἀννίβα δὲ στειλαμένου οὐδαμόθεν πολὺ διεστῶτι, καὶ ὃ μάλιστα αἰεὶ προσεφορώμενος. Ἀσρύβας δὴ ἀπὸ τῆς ἤρας ἐπιμελῶν, κατέλεγε Καρχηδονίων τε καὶ Λιβύων ἐς ἑξακισχιλίους πεζοὺς ἑκατέρων, καὶ ἱππέας ἑξακοσίους, δούλους τε ἠνάγκαζε πεντακισχιλίους, ὃ ναυτικὸν ἐρέσσειν, καὶ τοῦδε τῶν Νομάδων ἔλαβε δισχιλίους ἱππέας, καὶ ξένους ἐμισθοῦτο, καὶ πόλεις ἐγύμναζε, δέκα κοσίους τα-

δίους ἀποχὼν ἀπὸ Καρχηδόνος. Νομάδων δὲ ὧν ὁ Λιβύη δυνάσας μὴν ἥδε τῆ μέρη πολλοὶ, Σύφαξ μὲν ἀπ' ἀρχῆς τὴν ἡμίσειαν εἶχε τῶν ἐθνῶν ὑπὸ φαῖη, Μασσυλίων δ' αὖ ἤθνεος ἀγκύμου παῖς ἦν τῶ βασιλέως Μασσυλίου, ὃς ἐπὶ Θραπτὸ μὲν ὁ Καρχηδόνι τὴν πεπαίδευτο, ὅτι δ' αὖτε τὴν ὃ σῶμα καλῶ τὴν τ' ἔφοδον ἀείρω Ἀσδρούβας ὁ Γίσκωνος στρατηγὸς Καρχηδονίων δίδοτο τὴν θυγατέρα, καὶ φασὶ ὅτι Νομάδι Καρχηδονίω ὧν· ὡς δ' ἐνέγνωσαν, ἐπῆγετο ἐς Ἰσπανίαν στρατηγῶν ὁ μειράκιον· Σύφακι δὲ καὶ ζῆλος ἐπ' ἔρωτος ὑπὸ τῆ παιδὶ, ᾧ Καρχηδονίων ἥλατο, καὶ Σκιπίωνι ἁμα πλεύσαντι πρὸς αὐτὸν ἐξ Ἰσπανίας συνέπεμψε συμμαχήσων ὑπὲ Καρχηδονίοις ἰόντι. ἀμαθόμβριοι δ' οἱ Καρχηδόνιοι, καὶ μέγα ποιούμενοι ἐς ὄν πρὸς Ρωμαίους πόλεμον Σύφακα προσλαβεῖν, ἐξέδοσθαι αὐτῷ τὴν πρόθεσιν, ἀγνοοῦντων τὸ ὄντων τὸ Ἰσπανία Ἀσδρούβου τε καὶ Μασσυλίου· ἐφ' οἷς ὁ Μασσυλίος ἀπὸ ἀγῶν συνεπῆτο τὸ ὁδὲ τὸ Ἰσπανία τῷ Σκιπίωνι λαθόντων ὡς ὤπτο Ἀσδρούβαν, ὁδ' ἀμαθόμβριος, βαρέως μὴν ἔφερεν ἀπὸ τῶ μειρακίου τὸ τῆς θυγατρὸς ὑβρισμένου ἀμφοῖν, ἡγεῖτο δ' ὅμως τῆ πατρίδι συμφέρειν σφι ποδῶν Μασσυλίοιν ποιήσασθαι, καὶ ἐπῳμόσατο ἐς Λιβύην ἐξ Ἰσπανίας ὑπὲ θανάτῳ τῶ παρὸς σφὲ ἐπεμπε πρὸς πόμπους ἱππέας, οἷς εἴρητο ἀφανῶς ὑπὸ βουλεύειν αὐτῷ, τὸ κτείνειν ὅπη δύναιντο Μασσυλίοιν· ὁ δ' ἀμαθόμβριος, ἐξέφυγέ τε τὴν παρεοῦσαν ἀρχὴν ἐκατόντα ἱππέας ἀναθέζων, οἷς ἡμέρας τε καὶ νυκτὸς ὑπ' ἔργον ἀκοντίοις πολλοῖς χρωμένους ἐπιλαύνειν αἰεὶ τὸ ἀναχωρεῖν, τὸ αὖθις ἐπιλαύνειν, τὸ ὅλως ἔστιν αὐτοῖς ἡ μάχη, φυγὴ τὸ δίωξις· ἴσασι δὲ τὸ λιμὸν φέρειν οἱ Νομάδες οἵδε, τὸ πόα χερσὶν πολλάκις δὴ σίτου, καὶ ὃ πάμπαν ὑδροποτοῦσι, ὅ τε ἵππος αὐτοῖς κριθῆς μὴν ἐπ' ὅλως γεύεται ποσφαγὼν ἀεὶ, πίνει δὲ ὀλὸ πολλῶ. διοὔπερ ὁ Μασσυλίος ἐς δισμυρίους στρατὸν ἀγαγὼν, ἐξῆλθ' ὑπὲ θήρας ἢ λεηλασίας ἑτέρων ἕνεκα, ἀεὶ δ' ὕετο τὸ ἔργα καὶ γυμνάσια εἶ). Καρχηδόνιοι δὲ τὸ Σύφακι νομίζοντες ὑπὲ σφᾶς εἶ) τὸ πολεμεῖν ἕστε καθέλωσι, καὶ τότε Ρωμαίοις ἀπέπεμπον. Σύφακι μὲν δὴν δὲ Καρχηδόνιοι, πλείους ἦσαν πολὺ, μᾶλλον δὲ ἀμαξαῖς δὲ πολὺ σκιβῆς ἐπαρείας τὸ ζυφῆς ἐστρατεύοντο, Μασσυλίοιν δὲ πόνον τε πολυὸ πᾶσιν ἐξῆρχε, τὸ ἱππικὸν μέγα εἶχε, καὶ στρόβιλον σφὶν σφὶ ἀγορεύειν, ὅθεν ῥᾳδίως ὑπέφθη τε καὶ ἐπιχείρει, τὸ ἐς ἅλμας ἀνεπήδα, πολλάκις τε καταλαμβανόμενος, διεσκίδνη δὲ στράτευμα, ὅπη δύναιντο ἀποφθίνειν τὸ μέρη, καὶ σφὶν ὀλίγοις αὐτὸς ὑπεκρύπτετο τοι, μέχρι συνελθοιεν αὖτε νυκτὸς ἢ μεθ' ἡμέραν ἐς ὃ συγκείμενον, τεῖπος δὲ ποτε ὁ ἀπλαίῳ χρυσίδμενος ἔλαθε, τῶν πολεμίων σφὶ ὃ ἀπίλαιον στρατοπεδούντων, ὑδὲ ἔστιν ὅτε, ἐσάθμευεν ὁ στρατόπεδα, ἀλλὰ τὸ μάλιστ' ἐστρατήλατο ὁπόπ ποτε εἴη, ὅθεν οὐκ εἶχον αὖτε σφὶν ἔχως προσεπιχειρεῖν οἱ πολέμιοι, ἀλλ' ἠμύνοντο ὑπὸ τὰ· ἀγορὰ δ' ἦν αὖτε καθ' ἑκάστην ἡμέραν, ὅπη σφὶ ἑκάστοις καταλάβοι χωρίον ἢ κώμην ἢ πόλιν, λαΐζομένῳ τε πάντα καὶ διαρπάζοντι καὶ μεμεθυσμένῳ τοῖς συνοῦσιν, ὅθεν αὖτε πολλοὶ τῶν Νομάδων ἐπιφόνων, μαθοὺς μὴν οὐ διδύντι τεταγμένους, ἀφ' ὧν ὠφελείας πολὺ πλείονας ἔχοντες. τὸ Μασσυλίος μὲν Καρχηδονίοις οὕτως ἐπολέμει· ὁ δὲ Σκιπίων, ἐπεὶ οἱ πάντα διαπεπρᾶχθαι ἐν Σικελίᾳ, ἔθυε Διὶ καὶ Ποσειδῶνι, καὶ ἐς Λιβύην ἀπῆγε ὑπὲ νεῶν μακρῶν μὲν δύο καὶ πεντήκοντα, φορτίδων δὲ τετρακοσίων, κέλητάς τε καὶ λέμβους πολλοὺς συνεῖπετο αὖτε, καὶ στρατιὰν ἦγε, πεζοὺς μὲν ἑξακισχιλίους ὑπὲ μυρίοις, ἱππέας

δὲ χιλίους καὶ ἑξακοσίους. ἐπῆγε δὲ καὶ βέλη καὶ ὅπλα καὶ μηχανήματα ποικίλα, καὶ ἀργυρὸν πολλόν· καὶ Σκιπίων μὲν ὡδὲ διέπλει. Καρχηδόνιοι δὲ καὶ Σύφακα πυθανόμενοι, ἔγνωσαν ἐπὶ τῷ πρότερον ὑποκρίνασθαι τὸ Μασσανάσσου, καὶ ἐς φιλίαν ἐπαγάγεσθαι, μέχρι ὅτου Σκιπίωνος ὑπερβατήσαιεν. ὁ δὲ οὐκ ἠγνόει μὲν ἐξαπατώμενος, ἀντιπεμπόμενος δὲ καὶ μηνύων πρόφατα τοῦ Σκιπίωνι, ἵνα μὴ τοὺς ἐν Λεπτίδι ὡς συμπλαγμένος μετὰ τῶν ἰδίων ἐπαίων· καὶ ἔγραφε πρὸς αὐτὸν μάχεσθαι ἀπὸ ἀμηχάνων Ἀσδρούβας τε καὶ Σύφαξ καὶ Μασσανάσσης πρὸς Ἰτύκην πόλιν, ἐς ἣν ὁ Σκιπίων κατεληλύθει ἀπὸ θαλάσσης, καὶ αὐτὸς ἔγραφε πρὸς αὐτόν. οὐ πολὺ δὲ ἀπεῖχον ὁ Ἀσδρούβας αὐτὸν γράφων ἔχειν, ἐς δισμυρίους πεζοὺς, καὶ ἱππέας ἑπτακισχιλίους, καὶ ἐλέφαντας ἑκατὸν ὅτι τι παρείκοιτο. Σύφαξ μὲν οὖν εἴτε δείσας, εἴτε ἄπιστος ἐς ἑκατέρους γιγνόμενος, τοῖς μὲν ἐς ἀμφὶ τι λυπεῖν τὸν ἀρχὸν αὐτὸν τοὺς ὁμήρους βαρβάρους, καὶ διεζεύγνυεν ἐς τὰ οἰκεῖα· Σκιπίων δὲ κατ' ὀλίγους ἐπέμπετο ὅτι χρεῶν τοῦ Ἀσδρούβα καὶ τίνες αὐτῷ καὶ τὴν πόλεων παρασκευάσουσιν. νυκτὸς δὲ λαθὼν ὁ Μασσανάσσης ἦκεν ὅτι τὸ στρατόπεδον τοῦ Σκιπίωνος· καὶ δεξιωσάμενος αὐτὸν, ἐδίδασκε τὸ ὅτιοῦσιν ἐς τὸ χωρίον ἀπὸ τειάκοντα σταδίων Ἰτύκης, ἔνθα πῦργός ἐστιν Ἀγαθοκλείους ἔρημον τῶν Συρακοσίων τυράννου, μὴ πλείους πεντακισχιλίων συνεδράσαι. ἅμα δὲ ἡμέρᾳ τὸ Ἀσδρούβαν ἔπεσθαι τὸν ὑπάρχον Ἀννωνα πέμψαι, τό, τε πλῆθος τῶν ἐχθρῶν ὑποσκεψόμενον, καὶ ἐς Ἰτύκην ἐσβαλοῦντα, μή τι πλησιάζοντων πολεμίων ταραχθείσης. καὶ αὐτὸς ὑπισχνεῖτο, εἰ κελεύοιτο, ἕψεσθαι. Ἀννων μὲν δὴ χιλίους ἦγε ὑπολέκτους ἱππέας Καρχηδονίους, καὶ Λιβύων τι πλῆθος· Μασσανάσσης δὲ Νομάδας τοὺς ἑαυτοῦ. ὡς δὲ ἐπὶ τῶν πύργων ἀφίκοντο, καὶ ὁ Ἀννων ἐξίππευσεν ἐς τὴν Ἰτύκην σὺν ὀλίγοις, μέρος δὲ τῆς σφετέρας ἐξεφαίνετο, καὶ ὁ Μασσανάσσης ἐκέλευε τὸν τεταγμένον ὅτι τοῖς ἱππεῦσι τὸ Καρχηδονίων ὄπισθα μεῖν αὐτοῖς, ὡς ἔσοι ὀλίγοις. καὶ αὐτὸς ὡς βεβαχίους εἶπετο ὡς ὑποδεησόμενος· ἐν μέσῳ δὲ ὢν Λιβύων ἡμιμάχων, ἥ τε πλείων σφετέρα κατεφαίνετο, καὶ στωμυλίσασθαι αὐτοῖς ἐκάτερα ἔδοξε τὰ Ῥωμαίων καὶ ὁ Μασσανάσσης· πάλιν ἱππαχοίων οἱ ξυνέφησαν αἰχμαλώτοις. Μασσανάσσης δὲ ἐπὶ τοῦτο ἐξετετέλεστο, ἀπήντα τῷ Ἀννωνι τῷ ὑπάρχῳ, ὡς φίλος, ἐπιμιών· καὶ συλλαβὼν αὐτὸν, ἀπῆγε ἐς τὸ τοῦ Σκιπίωνος στρατόπεδον, καὶ ἀπέδωκεν Ἀσδρούβᾳ τὸ μητρὸς τῆς ἑαυτοῦ. Σκιπίων δὲ καὶ Μασσανάσσης τὴν χώραν ἐπόρθουν, καὶ Ῥωμαίων ἐξέλυον ὅσοι δεθέντες ἔσκαπτον τὸ τοῖς ἀγροῖς, ἐξ Ἰβηρίας, ἢ Σικελίας, ἢ ἀπ' αὐτῆς τῆς Ἰταλίας πεμφθέντες ὑπὸ Ἀπίωνος· πολιορκοῦσι δὲ αὐτοὶ πόλιν μεγάλην, ἣ ὄνομα τῷ Λόχα, καὶ πολλὰ δῄα παίχρεισιν, οἱ μὲν Λοχαῖοι τὸ μὲν πρῶτον τὴν κλιμάκων ἐπεκηρυκεύοντο ἐκκλεῖσαι τὴν πόλιν ἐπισσωθοῦσι, καὶ ὁ Σκιπίων διεκάλει τῇ σάλπιγγι τὴν γραπτὰ. ἢ δὲ οὐχ ὑπήκουεν ἐπὶ ὀργῇ ὧν ἐπεπόνθεσαν, ἀλλ' ὑπεβοήτεις τοῖς τείχεσι, καὶ μώλωπα, καὶ παιδία κατεσφάττον. ὁ δὲ τοὺς μὲν ἔπ' ὄνῳ Λοχαίων ἀφῆκεν ἀπαθεῖς, τὴν δὲ γραπτὰ τὴν λείαν ἀφείλετο· καὶ τοὺς λοχαγοὺς ὅσοι συνεξήμαρτον, ἐκλήρωσεν ἐς τὸ μέσον, καὶ βεῖς τοὺς λαχόντας ἐκόλασε θανάτῳ. καὶ τάδε ποιήξας αὐτὸς ἤγαλλετο. Ἀσδρούβας δὲ αὖτοὺς ἐπήρθη, Μάγωνα μὲν τὸ ὑπαρχον ὑπεπέμψας ἐκ μετώπου, αὖτὸς δὲ ὄπιθεν ὑπιών· οἱ δὲ ἐν μέσῳ ἠμύνοντο τὸ ἔργον ἐμεμήσατο· καὶ ἐς ἑκατέρους αὐτῶν ἑκάτερος ὑπισταφεὶς, πεντακισχιλίους τῆς Λιβύων ἀπέκλῃσαν, καὶ χιλίους καὶ ὀκτακοσίους ἔλαβον αἰχμαλώτους· τοὺς δὲ λοιποὺς ἐς τὰς πύλας κατήραξαν. καὶ ὁ Σκιπίων αὖθις ὑπὸ τοῖσδε παρεβάλετο Ἰτύκῃ, καὶ γλῶ

καὶ κῦ θάλασσαν, δύο μὲν πεντήρεσιν ἐζευγμένας πύργων ὑπερτάς· ὅλην τε πίτυν βέλη καὶ λίθους μεγάλους ἐς τοὺς πολεμίους ἀφίει· καὶ πολλὰ μὲν ἐλύπει, πολλὰ δὲ ἀντιπαρῆγε. θραυομένων τε νεῶν, καὶ μαπτὰ δὴ ἐπαίρων μίσγετο, καὶ κριοῖς ὑ τειχῶν ὑπερπελάσας τύπτων, ἀρεπτόποις τε βέλεσιν, ὅσαι βύρσαι τοῖς αὐτὸ καὶ δὴ σκεπασμα ἦν. οἱ δὲ μὲν χάσματα ὑπετάφρευον, καὶ ἁρπεδόνας ἔβαλλον, καὶ τοὺς κριοὺς τῇ ὁρμῇ ἐξέλυον, ὑπεκάλλοντες ὑπὸ καρδίας δοκούς· ἐς δὲ τὰς μηχανὰς ἐξεπήδων μετὰ πυρός, ὥστε πνεῦμα φυλάξαι ἐς αὐτὰς ὑπιφορῶν. ὅλην δὲ Σκιπίων ἀπηγορευε μὴ τῶν αἱρήσειν τὴν πόλιν, ἐς πολιορκίαν αὐτὴν καθίστη. Σύφακι δὲ τῷ τῶν Νομάδων ἡγεμόνι πεῖθεται νόμιμος, ἦκε μετὰ τῶν γραμμάτων, καὶ ὑ μακρὰν ἐστάθμευεν ἀπὸ Ασσούβα. ἔπει δὲ ὁ Σύφακι νόμιμος εἶναι φίλος ἀμφοτέροις, καὶ τελευτῇ τὸν πόλεμον ἐγνωκώς, μέγας τε ἔπρα ναυπηγούμενα τοῖς τῶν Καρχηδονίων ὑπηγείτο, καὶ μισθοφόροι τινὲς Κελτῶν καὶ Λιγύων ἐπήλθοσαν, ἐπιχείρει διαπρᾶξαι ἀμφοτέροις. καὶ ἐδικαίου μήτε Ρωμαίοις Λιβύης, μήτε Καρχηδονίοις Ιταλίας ὑπερβαίνειν ὅτι πολέμου, ἔχειν δὲ Ρωμαίους Σικελίαν καὶ Σαρδὼ, καὶ εἴ τινας ἄλλας νήσους ἔχοιεν, καὶ Ιβηρίαν. ἐὰν δέ τις ἀπειθῇ, τοῖς πειθομένοις ἔφη συμμαχήσειν. ἅμα δὲ ταῦτ' ἔπρασσε, καὶ Νικαστράτην ἐπίτροπα ὑπιέναι πρὸς αὐτὸν, τήν τε Μασσαλίων ἀρχὴν αὐτῷ βεβαιώσειν ὑπισχνούμενος, καὶ τῶν θυγατέρων τεῖων οὐσῶν, δώσειν εἰς γάμον ἑαυτῷ ἑλέσθαι. ἔφερε δὲ ὁ ταῦτα λέγων, χρυσίον, ἵνα εἰ μὴ πείσειε, δῴη τῷ πρεσβευτήρων αὐτοῦ τὴν κτῆσιν Μασσυλίοις ὑπισχνούμενος. ὁ μὲν δὴ μὴ πίθοιτο, ἔδωκέ τινι τὸ χρυσίον ὑπὲρ τοῦ φόνου· ὁ δὲ λαβὼν ἔδοξε τοῦ Μασσυλίου, καὶ τὸν δόντα ἤλεγξε. Σύφακι δὲ οὐ πρόσθεν ἔπι λύσειν, φανερὸς τοῖς Καρχηδονίοις στασιάζων, πάλιν τὸ σκηνοποιεῖν θολερὸν τὰ Ρωμαίων ἐπεσκεύαζε, καὶ οἷον παλαιὸν ἐχούσης, οὐκ ἐπιθυμίας εἶχε, καὶ τοῖς φρουροῦσιν αὐτὸν ἔκτεινεν· οὐκ ἐθελήσοντας ἀπιέναι οὐκ ἀποκτείνας, συμμαχίαν τε ἄλλην πολλὴν Νομάδων μετεπέμπετο. καὶ οἱ μισθοφόροι πρῶτον αὐτοῖς ἤδη, καὶ νῆες ὀλίγαι πως εἶχον. ὡς δὲ ἔγνω πολεμίους, Σύφακα μὲν ὁρμώμενον ἐπὶ τοὺς πολιορκοῦντας Ιτύκην, Ασσούβαν δὲ ἐπὶ τὸ Σκιπίωνος στρατόπεδον· τὰς δὲ ναῦς ἔδῃ ταῖς ναυσὶν ἐπιπλεῖν, καὶ γίνεσθαι τοῦτο τὴν ἐπιοῦσαν ἡμέραν ἅπαντα ὁμοῦ, ἵνα μὴ διαρκέσωσιν αὐτοῖς οἱ Ρωμαῖοι διὰ τὴν ὀλιγότητα· ὧν ἤδη νυκτὸς οὔσης ὁ Μασσυλίων τοῦτό τινων Νομάδων πυθόμενος, μετέδωκε τοῦ Σκιπίωνι. ὁ δὲ ἔδοξε καὶ ἠπόρει, μὴ ἐς πολλὰ αὐτοῦ διαφυγόντος ἀφανὴς ἀδεεστέρους ἐς πάντα γίγνηται. τοῖς οὖν ἡγεμόσιν αὐτίκα νυκτὸς ἐπὶ τὴν σκηνὴν ἐκάλει· καὶ ἀπροσδοκήτων ἀπάντων, ὅτι πολὺ σεμνότερος ἐφάνη, εἶπε, Τόλμας καὶ ταχυτῆτος ἡμῖν ὦ φίλοι δεῖ, ἐς μάχης οὐκ ἀπογνώσεως. φθάσωμεν ἐπελθόντες τοῖς πολεμίοις. ὅσα δὲ τοῦ δὴ πλεονεκτήσομεν, μήτε ἤδη. ἐκείνοις μὲν οὐκ πλῆξις ἀδόκητον τῆς ἐφόδου, καὶ τὸ θαρσαλέον τοῦ ἔργου, τὴν ἀλιγωτέραν τοσοῦτον ἐπιχειρησάντων· ἡμεῖς δὲ οὐκ εἰς πολλὰ διηρημένη τῇ φρονήσει χρησόμεθα, ἀλλ' ἀθρόα· οὐδὲ ἐπάξομεν αὐτοῖς ἅπασι τοῖς ἐχθροῖς, ἀλλ' οἷς δὴ ὑπολειφθήσονται τοσούτοις. καθεύδουσι δὲ ὑφ' ἑαυτοῖς ἔκαστοι, καὶ ἐσομεν αὐτοῖς κῦ μέρος ἰσόμαχοι, ἴσμεν δὲ καὶ δύτυχία τοσοῦτον· καὶ ἐμοὶ ὁ θεὸς δῶ τῶν τοσούτων ὑπερβατῆσαι, ὧν δὴ ἀνὴρ καταφρονήσομεν. οἷς δὲ ὑπερβατὸν ὅτι τοσούτοις, καὶ ἧς ὁ κίνδυνος ἦ ἔσται τῆς ὑπερβήσεως, ἦν δὲ ἐσκέψαι, ἴσα τῆς γνώμης ἐρῶ. στασιαζομένων δὲ πάντων, ὁ μὲν κίνδυνος, εἶπεν, ἀδύνατος ὑπερβατὸν ἀπὸ τοῦδε τοῦ συλλόγου, νυκτὸς ἔτι οὔσης, ὅτι καὶ τὸ ἔργον ὅσῳ φοβερώτερον, καὶ δυσέτοιμα τὰ ἐκείνων, καὶ οὐδεὶς τῶν συμμάχων αὐ-

τοῖς δυνάται βοηθεῖν ἐς σφᾶς· φθάσομεν δὲ τε οὗτως αὐτῶν τὰ βουλεύματα μόνως ἐγνωκότων ἡμῖν τὴν ὑπερβολὴν ἡμέρας ὑπολείπεσθαι πλείων ἢ αὐτοῖς ὄντων τραπεζῶν, αἰσθόμενοι γὰρ εἰσὶ πόρρω, καὶ σὺν ἔστι ναυσὶ νυκτὸς ὑπερβαλεῖν. Ασεγύβας δὲ καὶ Σύφαξ συμαχεῖν ἀπ' ἀρχῆλων. καὶ τοῦτων Ασεγύβας μὲν ὅτι τοῦ πολέμου κεφάλαιον, Σύφαξ δὲ σὺν δυνατὸς ὑπερβαλέσθαι τὸν πόντον, βάρβαρος ἀνὴρ καὶ πυφῆς γέμων καὶ δίκης. Φέρε οὖν ἡμεῖς μὲν ἔτι Ασεγύβαι μὴ πρωτὸς ἴωμεν ἢ τραπ. Μασσανάσσῃ δὲ τῶν δὲ ὑπαίξωμεν ἐφεδρεύοντα τῷ Σύφακι, ἵνα ἅρα καὶ τοῦτο δόξαι ἐξίῃ τοῦ τραπέζου· περὶ δὲ χωρῶμεν ὅτι τὸν χάρακα τοῦ Ασεγύβου, καὶ τεθειμένοι ὑπερβαίνωμεν οὐ πρωτὸς μέσης σφῶν ἢ πεδὶ τὸ χρυσῆ καὶ τέλμη θρασυτάτη· τούτων γὰρ τὰ πρόπαν δεῖται μάλιστα. τοὺς δὲ ἱππέας (οὐ γὰρ ἔστιν αὐτοῖς χρῆσθαι νυκτὸς ἔτι οὔσης) ἀποπέμψω πορρωτέρω κυκλοῦσθαι τὸ τραπέδιον τῆν πολεμίων, ἵνα εἰ μὴ βιασθείημεν, ὑποδέχωντο ἡμᾶς, καὶ ἐς φιλίους καταφύγοιμεν· εἰ δὲ ὑπερβαίημεν, οὐκ φόβον τας ἐκείνους διώκοιεν καὶ δρασχεῖωντο. ταῦτ' εἰπὼν, καὶ τοὺς ἡγεμόνας ἐκπέμψας ἀπλίσας τὸν τραπὸν, αὐτὸς ἐβόα τε τέλμη καὶ φόβου μηδὲν ὡς ἐν νυκτὶ πρωικὸν οἰησεσθαι, ἀλλὰ τὸν τραπὸν αὐτῷ θρασύτατον μάλιστα ἐφοβῶ. τέλος δὲ ἤδη φυλακῆς ῥέμα τῇ Σελπιγξὶ ὑπεσήμηνε, καὶ μὴ σιγῆς βαθυπάτης τραπὸς τοσοῦτος ἐβάδιζεν, ἕως οἱ μὲν ἱππεῖς τεθείεσθαι ἐν κύκλῳ τοὺς πολεμίους· οἱ πεζοὶ δ' ὅτι τάχιστα ἐφεῖσαν αὐτῶν ἀφίκεντο· βοὴ δ' τότε παμμιγὴς, καὶ Σελπιγξὶ θρόας, καὶ βυκανήμασιν ἐς κατάπληξιν χρώμενοι, τοὺς μὲν φύλακας ἐξέωσαν ἐκ τῶ φυλακτηρίου, τάχιστα δ' ἐφεῖσαν ἔχειν, καὶ τὰ σκηνώματα διέφθειραν. οἱ δ' ὑπολειπόμενοι τεθραμμένοι ἐν ἑορτῇ τινας σκιὰς. καὶ οἱ Λίβυες μετ' ἐκπλήξεως ἀνεπήδων τὰ ὅπλα, καὶ τὰ ὅπλα μετελάμβανον, καὶ ἐς τὰς τάξεις ἀπέκτων ἐφέροντο, καὶ τῆν τοῦ στρατηγοῦ ἀκριβὲς ὧν γνωσθέντων εἰδότες. διαπεδῶσας δὲ ὡς οἱ Ρωμαῖοι καὶ ὁπλιζομένους ἔτι, καὶ τὰ σκηνώματα κατελάμβανον, καὶ σκιὰς πλείονας ἐπέμπρησαν, καὶ τοὺς ἐν ποσὶν ἀνῄρουν. τῆς δ' ἕως ἤπτε βοὴ τῆν ἐχθρῶν, καὶ ἡ ὄψις, καὶ τὰ ἔργα φοβερώτατα, ὡς ἐν νυκτὶ, καὶ ἀγνοσία καὶ γνωμένου καὶ ἀκοὴ· ἠγνόουν τε ὡς ἐληφθη ὁ στρατόπεδον, καὶ τὸ πῦρ τῆν ἐμπεπρησμένων σκιῶν διδιότες, ἐξέπιπτον ἐκ τῶν ἐξ αὐτῶν, καὶ ἐς ὃ πεδίον ὡς ἀσφαλέστερον ἐώμουν· ὅθεν τις μέρος ὅπη τύχοιεν ἀκόσμως διεδίδρασκον, καὶ ἐς τοὺς Ρωμαίων ἱππέας οἱ κύκλῳ τεθειεσμένοι, ἐμπίπτοντες ἀπέθνησκον. Σύφαξ δὲ νυκτὸς μὲν ἔτι τῆ βοῆς ἀμαθόμενος, καὶ ὁ πῦρ ὁρῶν, οὐκ ἐπεξῆλθεν, ἀλλὰ τῆν ἱππέων ἵνας ὑπερβαλεῖν ἔπεμψεν Ασεγύβα· οἷς ὁ Μασσανάσσης ὑπεπεσὼν ἄφνω, πολλὰ ἐργάζεται φόνου. ἅμα δὲ ἡμέρᾳ μαθὼν ὁ Σύφαξ Ασεγύβαν μὲν ἤδη φυγόντα, τῆς δὲ στρατιᾶς αὐτοῦ τοὺς μὲν ἀπολωλότας, τοὺς δὲ εἰλημμένους ὑπὸ τῆν πολεμίων, τοὺς δὲ διεῤῥιμμένους, καὶ ὁ στρατόπεδον αὐτῆ τεθεσκυῖ Ρωμαίους ἔχοντας, λύεζόμενος, φθάνων εἰς τὰ μεσόγαια μὴ ὄρους, πάντα καταλιπὼν, εἰόλμενος βοῦς ἀπὸ τῆς Καρχηδονίων διώξεως αὐτῷ τῶν Σκιπίωνα ἐπαμυόντα ὑπισχνεῖσθαι ὅτην καὶ τοῦδε τὸν χάρακα, καὶ τὰ ὑπὸ αὐτῷ τεθεσκευῶ εἶλε Μασσανάσσης. καὶ Ρωμαῖοι ἀφὶ τάλμης, μιᾶς ὑπὸ ἀλήγῳ μέρᾳ νυκτὸς, δύο τραπέδων, καὶ δύο στρατῶν πολὺ μειζόνων ἐκράτησαν ὁμοῦ. ἀπέθανον δὲ Ρωμαίων μὲν ἀμφὶ τοὺς ἑκατὸν ἀνδρίας, ὧν δ' ἐχθρῶν ὀλίγῳ δίοντες τετρακόσιοι, καὶ οὐχ μάλωτοι ἐγένοντο διχίλιοι καὶ τετρακόσιοι· τῆν δὲ ἱππέων ἑξακόσιοι ἐπε-

νίοντι τῷ Σκιπίωνι ἑαυτοὺς προέδωσαν· καὶ τῶν ἐλεφάντων οἱ μὲν ἀνῄρηντο, οἱ δὲ ἐτέτρωντο. Σκιπίων δὲ ὅπλων τε καὶ χρυσοῦ, καὶ ἀργυρίου, καὶ ἐλέφαντος πολλοῦ, καὶ ἵππων ἄλλων τε καὶ Νομαδικῶν κεκρατηκὼς, καὶ δι' μιᾶς τῆσδε νίκης λαμπρότατος δὴ γλωμάχης, ἐς γῆν τὴν Καρχηδονίων καταβαλών, ἅπαντα ἀριστεῖα τῷ στρατῷ διεδίδου, καὶ ὧν λαφύρων τῷ ἀξιολογώτατα ἐς Ρώμην ἔπεμπε, καὶ τὸν στρατὸν ἐγύμναζε φιλοπόνως, προσδοκῶν Ἀννίβαν τε αὐτίκα ἀπὸ τῆς Ἰταλίας, καὶ Ἀσδρούβαν ἀπὸ Λιγυστίνων ἐπελεύσεσθαι. καὶ Σκιπίων μὲν τοῖς τοιούτοις. Ἀσδρούβας δὲ ὁ στρατηγὸς Καρχηδονίων ὡς μὲν τῇ ναυμαχίᾳ μὴ ἱππέων πεντακοσίων τὴν ἀριθμὸς, εἰς Ἀνδηρὰ κατέφυγεν· ἔνθα μισθοφόρους τέ τινας ὁπλίτας συνέλεγε, καὶ Νομάδας συνήγειρε, καὶ δούλους ἐς ἐλευθερίαν συνεκάλει. πυθόμενος δὲ ὅτι Καρχηδόνιοι θανάτου αὐτὸν κατέγνωσαν ὡς κακῶς στρατηγήσαντα, καὶ Ἀννωνα τὸν Βωμίλχαρος εἵλοντο στρατηγεῖν, ἴδιον αὐτῷ τὸν στρατὸν ἐποίει, καὶ κακουργεῖν προσελάμβανε, καὶ ἐλπίζειν ἐς τοὺς ἀμφὶ Ἀσδρούβαν· καὶ ἐγύμναζεν οὓς εἶχεν ἀμφὶ τετρακισχιλίους ἱππέας, πεζοὺς δὲ ὀκτακισχιλίους, ὡς ἐν μόνῳ τῷ μάχεσθαι τοὺς Ἴβηρας ἔχων. ὁ μὲν δὴ τοῦτα ποιῶν, Ρωμαίους ὀλίγου, καὶ Καρχηδονίους ὀλίγου ἐλάνθανε. Σκιπίων δὲ ἐπῆλθε αὐτῇ Καρχηδόνι τὸν στρατὸν ὡπλισμένον, καὶ σὺν ἀρῇ ἐς μάχην προσεκαλεῖτο, οὐδενὸς ἐξιόντος. Ἀμίλχαρ δὲ ὁ ναύαρχος ναυσὶν ἑκατὸν ἐσπλεύσας ἐς τὸν ναύσταθμον ἀνῆγε τοῦ Σκιπίωνος. ἴδόντας αὐτὸν τὰ φθάσαι ἐπαμύνοντα, καὶ τοὺς ὕστερον Ρωμαίων εἴκοσι τριήρεις, ῥᾳδίως τοῖς ἑκατὸν αἱρήσειν. καὶ ὁ Σκιπίων ἰδὼν αὐτὸν ἀνάπλουν, προσῦπεμπέ τινα ἐς πλοῦν τὸν λιμένος, ἐμφράξαι τροχύλοις πλοίοις ἔσω αἰκρῶν τὸν στόματος, ἵνα μὴ δι' αὐτοῦ πλοῦν αἱ τριήρεις ἐκπλέοιεν ὅτι τάχους εἶη· καὶ τοῖς πλοίοις τοῖς κέρασι συνδήσαι τε καὶ ἐρμίσαι πρὸς ἀγκύλαις, ἵνα μὴ τριήρεις ἢ καταβαλεῖν δὲ τοῦτο τὸ ἔργον, ἢ πλέον ἢ πόνου· καὶ βαλομένων τὴν Καρχηδονίων ἀπό τε τῆς πλοίων, καὶ ἀπὸ τῆς γῆς, καὶ ἀπὸ τοῦ τείχους αἱ σφεῖς ἐθράυσαντο, καὶ καμοῦσαι ἐκεῖ ἑκάτεραι ἀπέπλεον. ἀπούσας τε αὐτοῖς, αἱ Ρωμαίων ἐπέκειντο ἐκλούουσά τε ἀφ' ἑαυτῶν ἀφράστων, καὶ ὅτε βιάζοιντο ὑποχωρεῦσαι. μίαν δὲ καὶ δώδεκα σὺν τοῖς ἀνδράσι. μετὰ δὲ τοῦτο ἐχείμαζον ἀμφω. καὶ Ρωμαίοις μὲν ἐν θαλάσσῃ ἀγορὰ δαψιλής. Ἰτυκαῖοι δὲ καὶ Καρχηδόνιοι λιμοῦ ὄντες ἐλήστευον τοὺς ἐμπόρους, μέχρι Ρωμαίων νῆες ἀφ' ἑαυτῶν πεμφθεῖσαι τῷ Σκιπίωνι ἐφώρμουν τοῖς πολεμίοις, καὶ τοὺς λῃστὰς ἐκώλυον· οἱ δ' ἔκαμνον ἤδη σφόδρα τῷ λιμῷ. τοιοῦτοι δ' ἐνέκειντο Σύφακες, Μασσυλίων ἦρχεν ὀνόματι τῇ ἰδίᾳ στρατιᾷ ὃ πέρι ὁ Ρωμαίων τοῦτο Σκιπίωνος καὶ λαβών, ἠγωνίζετο τὴν Ρωμαίων Λοκίου, τὸν Σύφακα ἐδίωκεν. ὁ δὲ ὑπέφυγε, μέχρι καθορᾷ τοῦτο πρὸ ποταμοῦ, συνεβάλοντο εἰς μάχην. οἱ μὲν οὖν Νομάδες ἐκατέρωθεν ἄκοντες ἔθος αὐτοῖς, πολλὰ καὶ ἀθρόα ἠφίεσαν ἐς ἀλλήλους· οἱ δὲ Ρωμαῖοι προσβαλλόμενοι τοῖς ἀσπίσι ἐπῆσαν. Σύφαξ δὲ Μασσυλίοις ἴετο ἐς αὐτὸν ἐκ τοῦ ὀργῆς· ὁ δὲ ἀντεπέλασε μεγάλῃ. ἐκ ἀγῶνος πολλοῦ τοῦτο ἀμφω ἠνώμων, τραπέντες οἱ τοῦ Σύφακος ἐς φυγὴν, τὸν ποταμὸν ἐπέρων, ἔνθα τις αὐτοῦ τὸν Σύφακος ἵππον ἔβαλεν· ὁ δὲ ἀπεσείσατο τὸν διακόντιον. καὶ ὁ Μασσυλίων ὑπεθραμών, εἶδέ τι αὖθις Σύφακα, ἐκ τοῦ ἕτερον αὐτοῦ τὸν ὠμὸν· καὶ τοιόνδε μὲν δὴ ἔπεμπε Σκιπίωνι. ἀπέθανον δὲ ἐν τῇ μάχῃ Σύφακος μὲν ἐς μυρίους ἄνδρας, Ρωμαίων δὲ πέντε καὶ ἑξήκοντα· Μασσυλίων δὲ τριακόσιοι καὶ αἰχ-

μάλωποι Σύφακος τρισχίλιοι. τούτων ἦσαν Μασύλιοι διχίλιοι καὶ πεντακόσιοι, τῶν ἐς Σύφακα ἀπὸ Μασσυλίου μεταστάντων. καὶ αὐτοὺς ὁ Μασσυλίος ὀλίγῳ πρόσθεν ἥκοντας πρὸς Λολλίου, καὶ λαβὼν κατέσφαξε. μετὰ δὲ τοῦτο Μασυλίους καὶ τὴν χώραν τὴν Σύφακος ἐπῆεσαν. τὰ μὲν αὖλις ἐς τὴν ἀρχὴν τοῦ Μασσυλίου κατιστάμενοι, τὰ δὲ προσαποικούμενοί τε, καὶ τοὺς ἀπειθοῦντας αὐτῶν καταστρεφόμενοι. ἀφίκοντο δ' αὐτοῖς ἐς ὀλίγον πρέσβεις τοῦ βασίλεια τοῦ Σύφακος πρόσθεν διδόντες· ἰδίᾳ δὲ πρὸς Μασσυλίου ἕτεροι πρόσθεν Σοφονίβας τῆς Σύφακος γυναικὸς τὸ ἀνάλογον τοῦ γάμου δεησόμενοι. Σοφονίβαν μὲν οὖν ἄσμενος εἶχε λαβὼν ὁ Μασσυλίος, καὶ αὐτίκα ἐπέμιξεν πρὸς Σκιπίωνα αὐτός τε σκίρτῃ καπίλιπε, προσορώμενος ἄρα ὃ μέλλον. Σκιπίων δὲ ἤρετο Σύφακα, ὅτις σε δαίμων ἔβλαψε φίλων ὄντα μοι, ὀλίγου δεῖν λιβύων ἡγεῖσθαι πρὸς πέρασι, φύσασθαι μὲν λύκος οὐκ ὤμησας· φύσασθαι δὲ μὴ τῶν λεόντων Ρωμαίους, καὶ μὴ Καρχηδονίων ἀντὶ Ρωμαίων ἡγέσθαι πολεμίων, τ' ἀντὶ Καρχηδονίους ὑπὸ πολλῶν βεβοηθηκότων. ὁ δ' εἶπε, Σοφονίβα Ασδρούβα θυγατήρ, ἧς ἐγὼ ἦρων ἐπ' ἐμοὶ κακῷ· φιλόπατρις δ' ὀξὺν ἰσχυρῶς, καὶ ἰσχυρὰ ἀπώμοτά τινα πίσαι πρὸς ἃ βούλεται· αὐτή με καὶ ἐκ τῆς ὑμετέρας φιλίας ἐς τὴν ἑαυτῆς μεθέηκε παῖδα, καὶ ἐς τόδε συμφορᾶς ἐκ δεσποτικῆς εὐδαιμονίας κατέβαλε· σοὶ δὲ πρόσω (χρὴ γὰρ ὑμέτερον νομόμενον καὶ Σοφονίβαν ἀπηλαγμένον πάντα εἶναι ὑμῖν βέβαιον) φύλαττε Σοφονίβαν, μὴ Μασσυλίῳ ἐς ἃ βούλεται μεταγάγῃ. ὑ γὰρ δὴ, μὴ τὸ χαλεπόν ποτε ἔλπεται τὰ Ρωμαίων, ἡπίζει ἄξιον· οὕτως ὀξὺν ἰσχυρῶς φιλόπολις. ταῦθ' ὁ μὲν ἔλεγεν εἴτ' ἀληθεύων, εἴτε ζηλοτυπούμενος, καὶ Μασσυλίῳ ἐς τὰ μέγιστα βλάπλων. ὁ δὲ Σκιπίων Σύφακα μὲν σεμνότατα φαινόμενον, καὶ τῆς χώρας ἔμπειρον, ὅπου τὰ χειμάδια ἐπήγαγε, καὶ γνώμης καὶ συμβουλῆς μετεδίδου, οἵου τι καὶ Κερσίου τοῦ Λυδοῦ Κύρου ἐχρῆτο. Λολλίου δ' ἀφικομένου, καὶ ταῦτα πρὸς τῆς Σοφονίβας πυθόμενα πρόσθεν πολλῶν λέγοντος, ἐκέλευσε τὴν Μασσυλίου τῆς Σύφακος γυναῖκα πρόσθε δοῦναι. πραττομένου δὲ ἐκείνου, καὶ τὰ πρὸς αὐτῆς ἀμῶθεν ὡς ἐγίνετο διηγουμένου, πρὸς τὸ τέρας ὁ Σκιπίων ἐκέλευεν αὐτὸν μηδὲν ἀφαιρεθῆναι βίᾳ τῶν Ρωμαϊκῶν λαφύρων, ἀλλ' εἰς τὸ μέσον καταθέντα αὐτῶν, καὶ πείθῃ εἰ δυνατόν. ὥχετο οὖν ὁ Μασσυλίος μὴ τινὰ Ρωμαίων, πρόσθε δώσων αὐτοῖς ἰλιῶ Σοφονίβαν· κρύφα δὲ αὐτῇ φέρων φάρμακον πρόσθεν ὁτέτυχε· καὶ τὰ παρόντα πρόσθεν ἔθηκεν ἢ πίῃ, ἢ Ρωμαίοις δουλεύῃ ἐκοῦσαν. ὑδὺ τε εἰπὼν ἔπι ἐξήλασε τοῦ ἵππου. ἡ δὲ τὴν ἔφω διέξασα ἰλιῶ κύλικα, καὶ διηθεῖσα μηδὲν ὀδύρεσθαι καλῶς ἀποθανουσῶν, ἔπιε τὸ φάρμακον. καὶ αὐτίκα ὁ Μασσυλίος τοῖς ἥκουσι Ρωμαίων ὕπατος ἐξέπεμψε, καὶ θαλάμας βασιλικῶς, ὑπέστρεφε πρὸς Σκιπίωνα. ὁ δὲ αὐτὸν ἐπαινέσας τε καὶ προπηγορήσας ὅτι ποτὲ μὲν γυναικὸς ἀπηλλάγη, ἐς φάνωσι τῆς ἐφόδου τῷ ὀλίγῳ Σύφακι, καὶ ἐδωρήσατο πολλοῖς. ἀφίκετο δ' ἐς Ρώμην τοῦ Σύφακος οἱ μὲν ἠξίουν πρεσβεύειν ἄνδρα ἐπ' Ιβηρίαν φίλον καὶ σύμμαχον αὐτοῖς γενόμενον· οἱ δὲ καλέζειν, ὅτι τοῖς φίλοις ἐπολέμησεν. ὁ δὲ ὑπὸ λύπης νοσῶν ἀπέθανεν. Ασδρούβας δὲ ἐπιδεὴς καλῶς τοῦ σεμνύεσθαι ἐγίνετο, ἔπεμπέ τινα πρὸς Αννωνα τὸν στρατηγὸν τῶν Καρχηδονίων, ἀξιῶν αὐτὸν Αννωνα κωλῦσαι τὴν στρατηλάσιαν· καὶ ὑποδεικνὺς ὅτι πολλοὶ Σκιπίωνι σεμνύονται Ιβηρες, οὓς ἐκ τῆς χρυσίου καὶ ὑποχείρους διαφθείρῃ, ὃ Σκιπίωνος στρατόπεδον ἐμπορήσοιτο. ἔφη δὲ καὶ αὐτὸς, εἰ πρόσθεν τὸν χειμῶνα, ἥξειν ἐπὶ ὃ ἔργον. ταῦτα μὲν Ασδρούβας· ὁ δὲ Αννων ἐς μὲν τὸν Ασδρούβαν

